eul_wid: ufa-aa

Ἀλέξανδρος Λυκοπολίτης · Alexander of Lycopolis

# Treatise-the Doctrines of the Manichaeans

*Πραγματεία Περὶ τῶν Μανιχαίων Δογμάτων*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Θεολογία* Theology
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Platonist

1 Ἡ Χριστιανῶν φιλοσοφία ἁπλῆ καλεῖται. αὕτη δὲ ἐπὶ τὴν τοῦ ἤθους κατασκευὴν τὴν πλείστην ἐπιμέλειαν ποιεῖται αἰνιττομένη περὶ τῶν ἀκριβεστέρων λόγων περὶ θεοῦ· ὧν τὸ κεφάλαιον τῆς περὶ ταῦτα σπουδῆς εἰκότως ἂν ἅπαντες ἀποδέξαιντο, ἔνθα τὸ ποιητικὸν αἴτιον τιμιώτατον τίθενται καὶ πρεσβύτατον καὶ πάντων αἴτιον τῶν ὄντων. ἐπεὶ καὶ τοῖς ἠθικοῖς τὰ ἐργωδέστερα παραλείποντες, οἷον τίς τε ἡ ἠθικὴ ἀρετὴ καὶ λογική, καὶ ὅσα λέγεται περὶ ἠθῶν καὶ παθῶν, περὶ τὸν ὑποθετικὸν διατρίβουσι τόπον, στοιχεῖα μὲν πρὸς ἑκάστης ἀρετῆς ἀνάληψιν οὐκ ἀποδιδόντες, παραγγέλματα δὲ παχύτερα ὡς ἐτύγχανεν ἐπισωρεύοντες, ὧν ὁ πολὺς δῆμος ἀκούων—ὡς ἐκ τῆς πείρας ἔστι μαθεῖν—σφόδρα ἐπιδίδωσιν εἰς ἐπιείκειαν, καὶ τῆς εὐσεβείας χαρακτὴρ ἐνιζάνει αὐτῶν τοῖς ἤθεσιν ἀναζωπυρῶν τὸ ἐκ τῆς τοιαύτης συνηθείας συνειλημμένον ἦθος καὶ κατ’ ὀλίγον εἰς τὴν τοῦ καλοῦ αὐτοὺς ὄρεξιν ὁδηγῶν. Εἰς πλεῖστα δὲ ταύτης ὑπὸ τῶν ἐπιγενομένων μερισθείσης ζητήσεις συνέστησαν πλείονες καθάπερ ἐν τοῖς ἐριστικοῖς, ἀφ’ ὧν ἐντρεχεστέρους μὲν ἄλλους ἑτέρων μᾶλλον καὶ ζητητικωτέρους, ὡς ἄν τις εἴποι, γεγονέναι συμβέβηκεν, καί τινες ἤδη καὶ αἱρέσεων προὔστησαν· ἀφ’ ὧν ἡ κατὰ τὸ ἦθος ἄδηλος κατασκευὴ ἐμαραίνετο τῆς μὲν κατὰ τὸν λόγον ἀκριβείας οὐκ ἐφικνουμένων τούτων ὅσοι τῶν αἱρέσεων ἡγεῖσθαι ἠξίουν, τοῦ δὲ πολλοῦ πλήθους στασιαστικώτερον πρὸς αὑτὸ διατεθέντος, κανόνος δὲ οὐδενὸς ὑπόντος οὐδὲ νόμων ἀφ’ ὧν τῶν ζητήσεων πορίσασθαι λύσιν. καθάπερ δὲ ἐν τοῖς ἄλλοις ἡ φιλοτιμία εἰς ὑπερβολὰς ἐκπίπτουσα οὐκ ἔστιν ὅ τι οὐ λυμαίνεται, οὕτω δὲ καὶ ἐπὶ τούτων τῇ καινότητι τῶν δοξῶν ἑκάτερος τὸν πρὸ αὐτοῦ ὑπερβάλλεσθαι σπουδάζων εἰς ἀνήνυτον πρᾶγμα τὴν ἁπλῆν ταύτην ἐμβεβλήκασιν φιλοσοφίαν· ὥσπερ ὁ λεγόμενος Μανιχαῖος, ὃς Πέρσης μέν τίς ἐστιν τὸ γένος, κατά γε τὴν ἐμὴν δόξαν πάντας ὑπερβαλὼν τῷ θαυμάσια λέγειν· καὶ οὐ πάλαι μὲν ἐπεπόλασεν ἡ τούτου καινοτομία—πρῶτός γέ τις Πάπος τοὔνομα πρὸς ἡμᾶς ἐγένετο τῆς τοῦ ἀνδρὸς δόξης ἐξηγητὴς καὶ μετὰ τοῦτον Θωμᾶς καί τινες ἕτεροι μετ’ αὐτούς—, αὐτὸς δὲ ἐπὶ Οὐαλεριανοῦ μὲν γεγονέναι λέγεται, συστρατεῦσαι Σαπώρῳ τῷ Πέρσῃ, προσκρούσας δέ τι τούτῳ ἀπολωλέναι. [10]

2 Τοιάδε οὖν τις φήμη τῆς ἐκείνου δόξης ἀπὸ τῶν γνωρίμων τοῦ ἀνδρὸς ἀφίκετο πρὸς ἡμᾶς. ἀρχὰς ἐτίθετο θεὸν καὶ ὕλην, εἶναι δὲ τὸν μὲν θεὸν ἀγαθόν, τὴν δὲ ὕλην κακόν· ἀγαθῷ δὲ πλείονι τὸν θεὸν ὑπερβάλλειν ἢ κακῷ τὴν ὕλην. τὴν δὲ ὕλην λέγει οὐχ ἣν Πλάτων, τὴν πάντα

γινομένην ὅταν λάβῃ ποιότητα καὶ σχῆμα—διὸ πανδεχῆ καὶ μητέρα καὶ τιθήν〈ην〉 καλεῖ — καὶ Ἀριστοτέλης, τὸ στοιχεῖον περὶ ὃ τὸ εἶδος καὶ ἡ στέρησις, ἀλλ’ ἕτερόν τι παρὰ ταῦτα· τὴν γὰρ ἐν ἑκάστῳ τῶν ὄντων ἄτακτον κίνησιν, ταύτην ὕλην καλεῖ. συντετάχθαι δὲ τῷ θεῷ δυνάμεις ἑτέρας οἷον ὑπηρέτιδας, ἀγαθὰς πάσας, καὶ ἄλλας τῇ ὕλῃ ὁμοίως, πάσας κακάς. τὸ δὲ λαμπρὸν καὶ τὸ φῶς καὶ τὸ ἄνω, πάντα ταῦτα σὺν τῷ θεῷ εἶναι, τὸ ἀμυδρὸν δὲ καὶ τὸ σκότος καὶ τὸ κάτω σὺν τῇ ὕλῃ. εἶναι δὲ καὶ τῷ θεῷ ὀρέξεις, ἀλλὰ καὶ ταύτας ἀγαθάς, καὶ τῇ ὕλῃ ὁμοίως, ἀλλὰ πάσας κακάς. εἰς ἐπιθυμίαν οὖν ποτε τὴν ὕλην ἐλθεῖν εἰς τὸν ἄνω ἀφικέσθαι τόπον, ἀφικομένην δὲ θαυμάσαι τό τε λαμπρὸν καὶ τὸ φῶς ὅσον ἦν παρὰ τῷ θεῷ, καὶ δὴ θέλειν τὴν ἀρχὴν ταύτην κατασχεῖν τὸν θεὸν παρωσαμένην.

3 τὸν δὲ καὶ βεβουλῆσθαι μὲν ταύτην τιμωρήσασθαι, ἀπορεῖν δὲ κακοῦ ᾧ δὴ καὶ τιμωρήσηται· μὴ γὰρ εἶναι κακὸν ἐν θεοῦ οἴκῳ. πέμψαι οὖν τινα δύναμιν, τὴν ὑφ’ ἡμῶν καλουμένην ψυχήν, ἐπὶ τὴν ὕλην, ἥτις αὐτῇ διὰ πάσης μιχθήσεται· ἔσεσθαι γὰρ τῆς ὕλης θάνατον τὸν μετὰ ταῦτά ποτε τῆς δυνάμεως ταύτης χωρισμόν. οὕτως οὖν κατὰ πρόνοιαν τοῦ θεοῦ μεμῖχθαι τὴν ψυχὴν τῇ ὕλῃ, ἀνόμοιόν τι πρᾶγμα ἀνομοίῳ. ἐν δὲ τῇ μίξει συμπαθεῖν τῇ ὕλῃ τὴν ψυχήν· ὥσπερ γὰρ ἐν φαύλῳ ἀγγείῳ συμμεταβάλλεσθαι πολλάκις τὸ ἐνυπάρχον, οὕτω δὲ καὶ ἐν τῇ ὕλῃ τοιοῦτό τι τὴν ψυχὴν παθοῦσαν παρὰ τὴν οὖσαν ἠλαττῶσθαι φύσιν εἰς μετουσίαν κακίας. οἰκτεῖραι οὖν τοῦτο τὸν θεὸν καὶ πέμψαι τινὰ ἑτέραν δύναμιν, ἣν ἡμεῖς καλοῦμεν δημιουργόν· ἧς δὴ ἀφικομένης καὶ τῇ κοσμοποιίᾳ ἐπικεχειρηκυίας ἀποκεκρίσθαι τῆς ὕλης ἐκεῖνο τῆς δυνάμεως, ὅσον ἀπὸ τῆς μίξεως οὐδὲν ἦν ἄτοπον πεπονθός, καὶ γεγονέναι ἥλιον καὶ σελήνην πρῶτον, τὸ δὲ ἐν μετρίᾳ γεγονὸς κακίᾳ ἀστέρας καὶ τὸν οὐρανὸν σύμπαντα. τῆς οὖν ὕλης ἧς ἀπεκρίθησαν ἥλιος καὶ σελήνη τὸ μέρος ἐκτὸς τοῦ κόσμου ἀπεληλάσθαι, καὶ εἶναι ἐκεῖνο πῦρ, καυστικὸν μὲν σκοτῶδες δὲ καὶ ἀφεγγές, νυκτὶ προσόμοιον. ἐν δὲ τοῖς ἄλλοις στοιχείοις καὶ φυτοῖς καὶ ζῴοις τοῖς ἐν τούτοις ἀνωμάλως φέρεσθαι τὴν θείαν δύναμιν μεμιγμένην. διὸ δὴ καὶ τὸν κόσμον γεγονέναι καὶ ἐν αὐτῷ ἥλιον καὶ σελήνην ταῖς γενέσεσιν καὶ ταῖς φθοραῖς ἀεὶ τὴν δύναμιν τὴν θείαν τῆς ὕλης ἀποχωρίζοντας καὶ πρὸς τὸν θεὸν παραπέμποντας. ἐπὶ γάρ τοι τῷ δημιουργῷ ἑτέραν δύναμιν ἐπὶ τὸ φωτοειδὲς τοῦ ἡλίου κατελθοῦσαν ταῦτα διαπραγματεύσασθαι, καὶ εἶναι καὶ ἐμφανὲς τὸ πρᾶγμα καί, ὡς ἄν τις εἴποι, τυφλῷ δῆλον.

4 ἐν μὲν γὰρ ταῖς αὐξήσεσιν τὴν σελήνην λαμβάνειν τὴν ἀποχωριζομένην δύναμιν ἀπὸ τῆς ὕλης καὶ πλήρη γίνεσθαι ταύτης τὸν χρόνον τοῦτον, πληρωθεῖσαν δὲ ἐν ταῖς μειώσεσιν εἰς τὸν ἥλιον ἀναπέμπειν· τὸν δὲ πρὸς τὸν θεὸν ἀφιέναι, ποιήσαντα δὲ τοῦτο ἐκδέχεσθαι πάλιν τὴν ἀπὸ τῆς ἑτέρας πανσελήνου πρὸς αὐτὸν τῆς ψυχῆς μετοίκησιν καὶ παραλαβόντα ὁμοίως πρὸς τὸν θεὸν ἐᾶν αὐτομάτως φέρεσθαι καὶ τοῦτο διὰ παντὸς ἐκπονεῖν. καὶ εἰκόνα δὲ ἐν ἡλίῳ ἑωρᾶσθαι τοιαύτην, οἷόν ἐστι τὸ τοῦ ἀνθρώπου εἶδος, καὶ ἀντιφιλοτιμήσασθαι τὴν ὕλην ποιῆσαι τὸν ἄνθρωπον ἐξ αὑτῆς κατὰ τὴν διὰ πάσης αὐτῆς τῆς δυνάμεως μῖξιν, ἔχοντα καὶ αὐτόν τι τῆς ψυχῆς· πολὺ μέντοι συμβεβλῆσθαι τὸ εἶδος εἰς τὸ πλεῖόν τι παρὰ τὰ ἄλλα θνητὰ ζῷα τῆς δυνάμεως τῆς θείας τὸν ἄνθρωπον μετασχεῖν, ὑπάρχειν γὰρ αὐτὸν θείας δυνάμεως εἰκόνα. τὸν δὲ χριστὸν εἶναι νοῦν· ὃν δὴ καὶ ἀφικόμενόν ποτε ἀπὸ τοῦ ἄνω τόπου πλεῖστόν τε τῆς δυνάμεως ταύτης πρὸς τὸν θεὸν λελυκέναι καὶ δὴ καὶ τὸ τελευταῖον ἀνασταυρωθέντα παρασχέσθαι γνῶσιν τοιῷδε τρόπῳ καὶ τὴν δύναμιν τὴν θείαν ἐνηρμόσθαι, ἐνεσταυρῶσθαι τῇ ὕλῃ. ἐπεὶ οὖν ἀπόλλυσθαι τὴν ὕλην ἐστὶ θεοῦ δόγμα, ἀπέχεσθαι μὲν ἐμψύχων πάντων, σιτίζεσθαι δὲ λάχανα καὶ πᾶν ὅ τι ἀναίσθητον, ἀπέχεσθαι δὲ γάμων καὶ ἀφροδισίων καὶ τεκνοποιίας, ἵνα μὴ ἐπὶ πλεῖον ἡ δύναμις ἐνοικήσῃ τῇ ὕλῃ κατὰ τὴν τοῦ γένους διαδοχήν. μὴ ἐξάγειν δὲ ἑαυτοὺς μηχανωμένους κάθαρσιν ὧν ἐλυμήνατο ἡ μῖξις τῆς ὕλης τὴν δύναμιν. τὰ μὲν κεφαλαιωδέστερα ὧν λέγουσίν ἐστιν ταῦτα.

5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τιμῶσι δὲ μάλιστα ἥλιον καὶ σελήνην οὐχ ὡς θεούς, ἀλλ’ ὡς ὁδὸν δι’ ἧς ἔστιν πρὸς θεὸν ἀφικέσθαι. ἀποχωρισθείσης δὲ ἀκριβῶς τῆς θείας δυνάμεως τὸ ἔξω πῦρ φασι συμπεσὸν ἑαυτό τε καὶ τὸ ἄλλο σύμπαν, ὅ τι δἂν λείπηται τῆς ὕλης, συγκαταφλέξειν. Οἱ δὲ ἐν τούτοις χαριέστεροι καὶ ἑλληνικῶν οὐκ ἄπειροι λόγων ἀναμιμνῄσκουσιν ἡμᾶς ἐκ τῶν οἰκείων, ἐκ μὲν τῶν τελετῶν τὸν κατατεμνόμενον Διόνυσον τῷ λόγῳ ἐπιφημίζοντες ὑπὸ τῶν Τιτάνων, καθάπερ λέγουσιν αὐτοὶ τὴν θείαν δύναμιν μερίζεσθαι εἰς τὴν ὕλην· ἐκ δὲ τῶν ποιήσεων τῆς γιγαντομαχίας, ὅτι μηδὲ αὐτοὶ ἠγνόησαν τὴν τῆς ὕλης κατὰ τοῦ θεοῦ ἄνταρσιν. ἐγὼ δὲ ὡς μὲν ταῦτα οὐχ ἱκανὰ ψυχαγωγῆσαι τοὺς ἀβασανίστως τὸν λόγον προσιεμένους οὐκ ἂν εἴποιμι, ὅπου γε καί τινας τῶν συνεσχολακότων ἡμῖν ἐν τῷ φιλοσοφεῖν μετέστησεν ἡ τοιαύτη ἀπάτη τῶν λόγων πρὸς ἑαυτήν· εἰς ἐξέτασιν δὲ ὅπως ἔχει νῦν ἐμαυτὸν καθεὶς ἀπορῶ τί χρήσωμαι. οὔτε γὰρ διά τινων λόγων νενομισμένων εἰσὶν αὐτῶν αἱ ὑποθέσεις, ἵνα κατὰ ταύτας τὴν ζήτησιν ποιησώμεθα, οὔτε τινὲς ἀρχαὶ ἀποδείξεων, [καὶ] ἵνα τὸ ταύταις ἑπόμενον θεασώμεθα. ἕρμαιόν τε ἀληθῶς ἐστιν τὸ τῶν ἁπλῶς λεγομένων φιλοσοφεῖν, οἳ τὰς παρ’ αὐτοῖς γραφὰς παλαιάς τε καὶ νέας ὑποστησάμενοι—θεοπνεύστους εἶναι ὑποτιθέμενοι—τὰς σφῶν αὐτῶν δόξας ἐντεῦθεν περαίνουσιν καὶ ἐλέγχεσθαι μόνον τηνικαῦτα δοκοῦσιν, ἐάν τι μὴ ταύταις ἀκόλουθον ἢ λέγεσθαι ἢ πράττεσθαι ὑπ’ αὐτῶν συμβαίνῃ· καὶ ὅπερ αἱ παρὰ τοῖς φιλοσοφοῦσιν καθ’ Ἕλληνας τῶν ἀποδείξεων ἀρχαί, αἱ προτάσεις αἱ ἄμεσοι, τοῦτο παρ’ αὐτοῖς ἐστιν ἡ τῶν προφητῶν φωνή. ἐνταῦθα δὲ τούτων μὲν ἁπάντων ἐκβαλλομένων, λεγομένων δὲ ὧν πρότερον ἐπεμνήσθην ἄνευ τινὸς ἀποδείξεως, ἀναγκαίου δὲ ὄντος μετὰ λόγου ποιήσασθαι τὴν ἀπόκρισιν, ἀλλὰ μὴ πιθανώτερα ἕτερα παραθεῖναι καὶ μᾶλλον ψυχαγωγεῖν δυνάμενα, χαλεπωτέρα ἡ ἔφοδος καὶ ἔτι μᾶλλον δυσκολωτέρα, ὅτι καὶ ποικίλους τοὺς λόγους ποιεῖσθαι δεῖ. εἴτε γὰρ ἀκριβέστεροι, τοὺς ὑπὸ τούτων ἄνευ τινὸς πίστεως προκατειλημμένους λάθοιεν ἄν· εἴτε εἰς ψυχαγωγίαν γένοιντο, εἰς τὰς αὐτὰς λαβὰς ἐμπεσοῦνται, ἐξ ὁμοίων γὰρ γεγονέναι δόξουσιν. διὸ πολλῆς καὶ μεγάλης φροντίδος δεῖ καὶ θεοῦ ὡς ἀληθῶς, ὃς τοῦ λόγου ἡγήσεται. Δύο ἀρχὰς ὑποτίθεται, θεὸν καὶ ὕλην. [40]

6 εἰ μὲν τὸ γιγνόμενον τοῦ ὄντος ἀποχωρίζων, οὐχ ὁμοίως φαύλη ἡ ὑπόθεσις, ἵνα μήτε ἡ ὕλη ἑαυτὴν ποιῇ καὶ τὸν τῶν ἐναντίων ἀποδέχηται λόγον, ποιοῦσά τε καὶ πάσχουσα, μήτ’ αὖ τοιαῦτα πάλιν ἕτερα περὶ τὸ ποιητικὸν αἴτιον θεωρῆται, ἃ οὐδὲ λέγειν ἴσως θέμις— καίτοι οὐ δεομένου τοῦ θεοῦ πρὸς τὰ ἀποτελέσματα ὕλης, ἐν ὑποστάσει δυναμένων γίγνεσθαι πάντων πρὸς ἐκεῖνον τὸν νοῦν. εἰ δέ, ὅπερ μᾶλλον λέγεσθαι δοκεῖ ὑπ’ αὐτοῦ, ἡ ἄτακτος κίνησις τῶν ὄντων ἐστὶν 〈ἡ〉 ὕλη, πρῶτον μὲν λανθάνει ἑαυτὸν ἕτερον ποιητικὸν αἴτιον ὑφιστάμενος, κακοποιὸν μέντοι, οὐχ ὁρᾷ δὲ καὶ τὸ ἑπόμενον, ὅτι εἰ θεὸν πάντως ὑποστατέον καὶ ὕλην, ἑτέρα τις ὕλη τῷ θεῷ ὑποστήσεται, ἵνα ἑκατέρῳ τῶν ποιητικῶν αἰτίων ἡ ὑποκειμένη ὑπάρχῃ ὕλη. ἀντὶ τοίνυν δύο τέτταρας ἡμῖν ποιῶν ἀρχὰς ἐπιδειχθήσεται. θαυμαστὴ δὲ καὶ ἡ ἀντιδιαίρεσις. εἰ γὰρ θεός ἐστιν παρ’ αὐτῷ ὅπερ τὸ ἀγαθόν, καὶ βούλεται ὑφίστασθαι αὐτῷ ἐναντίον, διὰ τί οὐ καθάπερ τινὲς τῶν Πυθαγορείων τὸ κακὸν αὐτῷ ἀντιτίθησιν; ἀνεκτότερον γοῦν ὑπ’ ἐκείνων λέγεται δύο εἶναι ἀρχάς, τὸ ἀγαθὸν καὶ τὸ κακόν, στασιάζειν δὲ ταύτας συνεχῶς, ἐπικρατεῖν δὲ τὸ ἀγαθόν· εἰ γὰρ τὸ κακὸν ὑπερέχοι, φθαρήσεσθαι πάντα. ὅλως γὰρ καθ’ αὑτὴν μὲν ἡ ὕλη οὔτε σῶμά ἐστιν οὔτε ἀκριβῶς ἀσώματόν τι οὔτε ἁπλῶς τόδε τι, ἀλλ’ ἀόριστός τις προσλαβοῦσα τὸ εἶδος γίνεται ὡρισμένη, οἷον τὴν πυραμίδα μὲν πῦρ, τὸ ὀκτάεδρον δὲ ἀήρ, τὸ εἰκοσάεδρον δὲ ὕδωρ, κύβον δὲ γῆ. πῶς οὖν ἐστι τῶν στοιχείων ἡ ἄτακτος κίνησις ἡ ὕλη; καθ’ ἑαυτὴν μὲν οὖν οὐκ ἔστιν ὑποστατή, ἡ γὰρ κίνησις ἐν τῷ κινουμένῳ· οὐ δοκεῖ δὲ τοιοῦτον εἶναι ἡ ὕλη, ἀλλὰ μᾶλλον τὸ πρῶτον ὑποκείμενον καὶ ἀρρύθμιστον καὶ ἀφ’ οὗ τὰ ἄλλα. ἐπεὶ τοίνυν ἡ ἄτακτος κίνησίς ἐστιν ἡ ὕλη, πότερον ἦν ἀεὶ σὺν τῷ κινουμένῳ ἤ ποτε κεχώρισται τούτου; εἰ μὲν γὰρ ποτε ἦν καθ’ αὑτήν, οὕτω γε οὐκ ἂν ἦν, οὐδεμία γὰρ κίνησις ἄνευ τοῦ κινουμένου· εἰ δὲ ἀεὶ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ κινουμένῳ ἦν, πάλιν αὖ δύο ἀρχαὶ οὕτω γε ὑποστήσονται, τὸ κινοῦν καὶ τὸ κινούμενον· ποτέρῳ οὖν αὐτῶν ψηφίζεται, ἵνα ἐκεῖνο μετὰ τοῦ θεοῦ ὑποστησώμεθα πρῶτον; Προσέτι δὲ τῷ λόγῳ ἐφόλκιον τὸ ἄτακτον, ἐξόριστον παντελῶς τοῦτο· ὁπότε γὰρ μὴ κίνησις, εἰκότως ἂν λέγοιτο.

7 τίς δὲ καὶ τῶν κινήσεων ἡ ὕλη; πότερον ἡ κατ’ εὐθεῖαν ἢ ἡ κυκλοφορητικὴ 〈ἢ〉 ἡ κατ’ ἀλλοίωσιν ἢ ἡ κατὰ γένεσιν καὶ κατὰ φθοράν; ἀλλ’ ἡ μὲν κυκλοφορητικὴ οὕτω κοσμία, ὥστε τῇ τοῦ παντὸς ἀποδέδοται τάξει· οὐ κατὰ τούτους δὲ ταύτην αἰτιᾶσθαι ἐν ᾗ ὁ ἥλιος καὶ ἡ σελήνη, οὓς μόνους θεῶν αἰδεῖσθαί φασιν. ἀλλὰ τὴν ἐπ’ εὐθείας; ἀλλὰ καὶ ταύτῃ πέρας ἐστίν, ἡ τοῦ ἰδίου τόπου τεῦξις. πάντῃ γὰρ τὸ γήινον πέπαυται κινούμενον ὅταν γῆς ἐπιλάβηται, πᾶν τε ζῷον καὶ φυτὸν αὐξανόμενον ὅταν τοῦ ἰδίου ὅρου ἐφίκηται, ὥστε ἡ τούτων στάσις εὐλογώτερος ἂν θάνατος γένοιτο τῇ ὕλῃ 〈ἢ〉 ἡ ὑπ’ αὐτῶν ταύτῃ πλεκομένη ἀνήνυτος τελευτή. τὴν δὲ κατὰ γένεσιν καὶ φθορὰν οὐδὲ ἐπινοῆσαι οἷόν τε τῇ ὑποθέσει ταύτῃ προσήκουσαν· ἀγένητος γὰρ αὐτοῖς ἐστιν ἡ ὕλη. εἰ δέ γε τὴν κατ’ ἀλλοίωσιν κίνησιν ἀποδώσουσιν αὐτῇ—δοκοῦσι γὰρ μάλιστα τοῦτο λέγειν, ἐπεὶ διὰ τῆς ὕλης καὶ μεταβολὰς ἠθῶν καὶ ἐν τῇ ψυχῇ κακίας εἶναι λέγουσιν—, σκοπεῖν ἄξιον ὅπως ποτὲ καὶ ταῦτά φασιν. ἀλλοιοῦσα γὰρ αὑτὴν ἀεὶ ἄρξεται ἀπ’ ἀρχῆς καὶ τοῦ μέσου προϊοῦσα ἐπιλήψεται καὶ εἰς τὸ τέλος οὕτως ἀφίξεται· ἀλλ’ εἰς τὸ τέλος ἀφικομένη οὐ στήσεται— εἴ γε οὐσία ἐστὶν αὐτῆς ἡ ἀλλοίωσις—, ἀλλὰ πάλιν ἀνακάμψει διὰ τῶν αὐτῶν ἐπὶ τὴν ἀρχὴν καὶ ὁμοίως ἐντεῦθεν ἐπὶ τὸ τέλος, καὶ οὔποτε τοῦτο ποιοῦσα παύσεται. οἷον εἰ ἀλλοιοῖτο ἡ ΑΓ , μέσον δὲ τὸ Β , ἀπὸ μὲν τοῦ Α ἡ μεταβολὴ ἀφίξεται 〈ἐπὶ τὸ Β 〉 καὶ ἐκεῖθεν ἐπὶ τὸΓ · πάλιν τοίνυν ἀπὸ τοῦ ἄκρου τοῦ Γ ἐπὶ τὸ Β ἀνακάμπτουσα ἀφίξεταί ποτε ἐπὶ τὸ Α , καὶ τοῦτο ἔσται διὰ παντός. ὥσπερ ἀπὸ τοῦ μέλανος ἡ μεταβολή, μέσον δὲ τὸ φαιὸν καὶ ἄκρον τὸ λευκόν· πάλιν δὲ ἀνάπαλιν ἀπὸ τούτου ἐπὶ τὸ φαιὸν καὶ ὁμοίως ἐπὶ τὸ μέλαν· πάλιν δὲ ἀπὸ τοῦ λευκοῦ ἡ ἀρχὴ τῆς ἀλλοιώσεως, ἡ αὐτὴ ἔφοδος. εἰ δὴ κατ’ ἀλλοίωσιν κακοποιὸς αἰτία ἐστὶν ἡ ὕλη, οὐ μᾶλλόν τι κακοποιὸς ἢ ἀγαθοποιὸς οὕτω γε δείκνυται.

8 ἔστω γὰρ ἡ ἀρχὴ τῆς ἀλλοιώσεως ἀπὸ τοῦ κακοῦ, οὐκοῦν οὕτως ἀπὸ τούτου διὰ τῶν ἀδιαφόρων ἐπὶ τὸ ἀγαθὸν ἡ ἀλλοίωσις· ἀλλ’ ἀπὸ τοῦ ἀγαθοῦ, πάλιν τοίνυν διὰ τῶν ἀδιαφόρων ἡ ἀρχή· εἴτ’ ἐπὶ τόδε τὸ ἄκρον, εἴτ’ ἐπὶ τὸ ἕτερον ἡ κίνησις, ὁ αὐτὸς λόγος. καὶ ταῦτα ἐκ περιουσίας λέγεται· πᾶσα μὲν γὰρ κίνησις περὶ τὸ ποσόν, κακίας δὲ καὶ ἀρετῆς ἡγεμών ἐστιν ἡ ποιότης· ταῦτα δὲ ὅτι καὶ τῷ γένει διώρισται, ἴσμεν. Πότερον δὲ μόνον ὁ θεὸς καὶ ἡ ὕλη ἐστὶν ἀρχαί, ἤ τι ἕτερον ἀπολείπει ὃ τούτων ἐστὶν ἐν μέσῳ; εἰ μὲν γὰρ μηδέν ἐστιν, ἄμικτα ταῦτα ὑπολείπεται πρὸς αὑτά —καλῶς γὰρ λέγεται ὅτι, ἵνα τὰ ἄκρα μιχθῇ, δεῖ τι εἶναι ἐν μέσῳ ὅπως ταῦτα συνδέῃ—· εἰ δέ τι ἕτερον ὑπάρχει, ἀνάγκη πάλιν εἶναι ἢ ἀσώματον ἢ σῶμα, ὥστε τριττὴ ἀρχὴ ἐπεισόδιος γέγονεν. Πότερον δὲ ὅλως ὁ θεὸς καὶ ἡ ὕλη ἀσώματα, ἢ τὸ μὲν σῶμα τὸ δὲ ἀσώματον, ἢ ἄμφω σώματα; εἰ μὲν γὰρ ἀσώματα ἑκάτερα, οὐδέτερον ἐν οὐδετέρῳ· πλὴν εἰ μὴ ὡς γραμματικὴ ἐν ψυχῇ—τοῦτο δὲ ἄτοπον ἐπὶ θεοῦ καὶ ὕλης ἐπινοεῖν—· εἴτε ὡς ἐν κενῷ, ὥς τινες λέγουσιν τὸ κενὸν τῷ παντὶ περικεχύσθαι, τὸ ἕτερον πάλιν ἀνυπόστατον, οὐσία γὰρ τοῦ κενοῦ τὸ μηδέν· εἰ δὲ ὡς συμβεβηκότα, πρῶτον μὲν ἀδύνατον τοῦτο, οὐσίας γὰρ ἄμοιρα ὄντα οὐδαμοῦ εἶναι δύναται, ὄχημα γὰρ ὥσπερ ἐστὶν ὑποβεβλημένον τοῖς συμβεβηκόσιν ἡ οὐσία. εἰ δὲ σώματα ἑκάτερα, ἀνάγκη ἢ ἄμφω βαρέα εἶναι ἢ ἄμφω κοῦφα ἢ μέσα, ἢ τὸ μὲν βαρὺ ἢ τὸ δὲ κοῦφον ἢ τὸ δὲ μέσον. εἴτε οὖν ἑκάτερα βαρέα, σὺν πάσῃ οὕτω γε ἀνάγκη εἶναι, τὰ δὲ αὐτὰ καὶ ἐπὶ τῶν κούφων καὶ ἐπὶ τῶν μέσων· εἴτε παραλλάττοιτο, τὸ ἕτερον πάντως τοῦ ἑτέρου ἔσται κεχωρισμένον. ἄλλος γὰρ τῷ βαρεῖ καὶ ἄλλος τῷ μέσῳ καὶ τῷ κούφῳ τόπος, τῷ μὲν γὰρ τὸ ἄνω τῷ δὲ τὸ κάτω τῷ δὲ τὸ μέσον. παντὸς δὲ σφαιροειδοῦς τὸ κάτω μέσον ἐστίν, ἀπὸ γὰρ αὐτοῦ πρὸς πᾶν τὸ μετέωρον ἄχρι τῆς ἄνω ἐπιφανείας πάντοθέν ἐστιν ἡ ἀπόστασις ἴση· καὶ

πάντα πάλιν τὰ βαρέα πανταχόθεν φέρεται ἐπ᾽ αὐτά· διὸ καὶ γέλωτός μοι ἐπῆλθεν ἀκούσαντι ὅτι κινουμένη ἡ ὕλη ἀτάκτως—τοῦτο γὰρ αὐτῇ κατὰ φύσιν—εἰς τὴν τοῦ θεοῦ ἀφίκετο χώραν, ἥ ἐστι φῶς καὶ λαμπρὸν καὶ πάντα τὰ τοιαῦτα. εἰ δὲ τὸ μὲν σῶμα τὸ δὲ ἀσώματον, πρῶτον μὲν ὅ ἐστιν σῶμα μόνον κινητόν ἐστιν· ἔπειτα δὲ εἰ μὲν ἄμικτά ἐστιν, χωρὶς ἑκάτερον κατὰ τὴν οἰκείαν φύσιν, εἰ δὲ μέμικται τὸ ἕτερον τῷ ἑτέρῳ, ἢ ψυχὴ ἢ νοῦς ἢ συμβεβηκὸς ἂν εἴη· οὕτω γὰρ μόνον τὰ ἀσώματα τοῖς σώμασι πάρεστι μίγνυσθαι. Ἀλλὰ πῶς ἠνέχθη εἰς τὴν τοῦ θεοῦ χώραν ἢ ἐκ ποίας αἰτίας; κατὰ φύσιν μὲν γὰρ αὐτῇ τὸ κάτω καὶ τὸ σκότος, ὥς φασιν, παρὰ φύσιν δὲ τὸ ἄνω καὶ τὸ φῶς· ὥστε παρὰ φύσιν τότε γέγονεν αὐτῇ ἡ κίνησις καὶ τοιοῦτόν τι πέπονθεν, οἷον εἰ λίθον τις ἢ βῶλον γῆς εἰς τὸ ἄνω ῥίψειεν· διὸ δὴ ὀλίγον τὰ τοιαῦτα—κουφισθέντα ὑπὸ τῆς τοῦ ῥίψαντος βίας— μετέωρα γεγονότα εἰς τὸν αὐτὸν καταφέρεται τόπον.

9 τὴν οὖν ὕλην τίς ἐκούφισεν εἰς τὸν ἄνω τόπον; δι᾽ αὑτὴν μὲν γὰρ καὶ ἐξ αὑτῆς οὐκ ἂν κινοῖτο ταύτην τὴν κίνησιν 〈παρὰ φύσιν〉 αὐτῇ ὑπάρχουσαν· δεῖ δὲ αὐτὴν ὑπομεῖναι βίαν, ἵνα εἰς τὸν ἄνω τόπον μετεωρισθῇ, καθάπερ ὁ λίθος καὶ ἡ βῶλος. ἀλλ᾽ ἕτερον μὲν οὐδὲν σὺν αὐτῇ ἀπολείπουσιν, τὸν θεὸν δέ. φανερὸν οὖν τὸ ἐκ τοῦ λόγου συμβαῖνον, ὅτι κατ᾽ αὐτοὺς ὁ θεὸς βίᾳ καὶ ἀνάγκῃ ταύτην μετέωρον ἐποίησεν ὡς αὑτόν. Καὶ μὴν εἰ κακὸν ἡ ὕλη, πάντως πού εἰσιν αὐτῆς καὶ ὀρέξεις τοιαῦται· ἔστι δὲ ἡ μὲν τοῦ κακοῦ ὄρεξις φαύλη, ἡ δὲ τοῦ καλοῦ πάνυ σπουδαία. εἰ δὲ τοῦ λαμπροῦ καὶ τοῦ φωτὸς ἐπεθύμησεν ἡ ὕλη, οὐ φαύλη ἡ ἐπιθυμία· καθάπερ οὐδὲ 〈εἰ〉 ἐν κακίᾳ τις ὢν μετὰ ταῦτά ποτε ἐπιθυμήσειεν ἀρετῆς. τοὐναντίον γὰρ ἐν ἐγκλήματι, τὸ σπουδαῖόν τινα τοῦ φαύλου εἰς ἐπιθυμίαν ἐλθεῖν· καθάπερ ἂν εἰ τὸν θεὸν φαῖεν ὀρέγεσθαι τῶν τῇ ὕλῃ προσόντων κακῶν. οὐ γὰρ δὴ τὰ τοῦ θεοῦ ἀγαθὰ τοιαῦτα ὑποληπτέον, οἷόν ἐστιν ὁ πλοῦτος καὶ ἡ πολλὴ γῆ καὶ ὁ πολὺς χρυσός, ὧν ἐλάττων γίνεται τῷ κεκτημένῳ ἡ ἀπὸ τῶν ἀνθρώπων εἰς ἕτερον μετάστασις. ἀλλ᾽ εἴ τινα τούτων ὅλως εἰκόνα ἐπινοῆσαι δεῖ, τὴν σοφίαν οἶμαι δικαίως ἄν τις παραβάλοι καὶ τὰς ἐπιστήμας. ὥσπερ οὖν οὔτε ἡ σοφία ἐλαττοῦται οὔτε ἡ ἐπιστήμη οὔτε οἱ αὐτὰς ἔχοντες, ἂν ἕτερος τῶν αὐτῶν μεταλάβῃ, οὕτως οὐδὲ τὸν θεὸν εὔλογον φθονῆσαι τῇ ὕλῃ τῆς τοῦ καλοῦ ὀρέξεως—εἰ δὴ κατ᾽ αὐτοὺς ὠρέχθη τούτου. Πολὺ δὲ τοὺς μυθοποιοὺς ὑπερβεβλήκασιν τοὺς ἢ τὰ τοῦ Οὐρανοῦ αἰδοῖα τέμνοντας, ἢ τὰς ἐπιβουλὰς κατὰ τοῦ Κρόνου ὑπὸ τοῦ υἱοῦ συντιθέντας ἵνα αὐτὸς κατάσχῃ τὴν ἀρχήν, ἢ ποιοῦντας πάλιν τὸν Κρόνον τοὺς υἱοὺς καταπίνειν εἶτα διαμαρτάνοντα διὰ τῆς τοῦ λίθου εἰκόνος.

10 πῶς γὰρ τὰ λεγόμενα ὑπ᾽ αὐτῶν οὐ τοιαῦτα, ὅταν πόλεμον ἄντικρυς τῆς ὕλης πρὸς τὸν θεὸν ὑφηγήσωνται καὶ μηδὲ ταῦτα μέντοι δι᾽ ὑπονοίας λέγωσιν, καθάπερ Ὅμηρος χαίρειν ποιεῖ τὸν Δία ἐπὶ τῷ τῶν θεῶν πολέμῳ πρὸς ἀλλήλους ἐν Ἰλιάδι, αἰνιττόμενος τὸ ἐξ ἀνομοίων τὸν κόσμον συγκεῖσθαι, ἡρμοσμένων πρὸς ἄλληλα καὶ νικώντων τε καὶ νικωμένων. καὶ ταῦτά μοι εἴρηται, ἐπειδὴ γιγνώσκω τοὺς τοιούτους, ἐπειδὰν ἀποδείξεων ἀπορῶσιν, ἕνι πανταχόθεν ἀπὸ τῶν ποιήσεων συμφέροντας καὶ ἀπολογίαν ταῦτα ὑπὲρ τῶν ἰδίων δοξῶν ποιουμένους. οὐκ ἂν δὲ ταῦτα ἐπεπόνθεσαν, εἰ μετά τινος φροντίδος ᾧτινι δήποτε ἐνετύγχανον. Καὶ μὴν πάντα μὲν τὰ κακὰ ἀπὸ τοῦ θείου χοροῦ ἀπελήλαται, ὁ ζῆλος δὲ μάλιστα καὶ ὁ φθόνος· καταλείπουσι δὲ οὗτοι αὐτὰ παρὰ τῷ θεῷ, ὅταν φῶσιν αὐτὸν τὴν ἐπιβουλὴν κατὰ τῆς ὕλης συντάξαι, διότι δὴ τοῦ καλοῦ ἐπεθύμησεν. τίνι δὲ καὶ ὁ θεὸς ὧν εἶχεν ἐβουλήθη τὴν ὕλην τιμωρήσασθαι; τὸ μὲν γὰρ ἁπλοῦν φάναι τὸν θεὸν ἀκριβέστερον οἶμαι ἢ κατὰ τούτους ἐστίν, καὶ ἡ τῆς ἐννοίας τούτου ἀφήγησις οὐχ ὡς περὶ τῶν ἄλλων εὔκολος· οὐδὲ γὰρ λόγῳ ἁπλῶς ἐνδείξασθαι αὐτὴν δυνατόν, διὰ δὲ πολλῆς παιδεύσεως καὶ πόνου. ἀλλὰ τοῦτό γε πάντες ἴσμεν, ὅτι ἡ ὀργὴ καὶ ἡ τῆς τιμωρίας κατὰ τῆς ὕλης ὄρεξις πάθη ἐστὶν περὶ τὸν οὕτω διακείμενον συνιστάμενα· ταῦτα δὲ οὐδὲ περί τινα σπουδαῖον γένοιτο ἂν τὰ παθήματα, μή τί γε περὶ τὸ ἀγαθὸν αὐτό. Ἐφ᾽ ἕτερα τοίνυν ἥκει πάλιν ὁ λόγος περιφερόμενος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 ἐπειδὴ γὰρ δύναμιν τὸν θεὸν εἰς τὴν ὕλην καταπέμψαι φασίν, σκοπεῖν ἄξιον, πότερον ἡ δύναμις αὕτη κατὰ τὸ ἀγαθὸν ἠλάττωται παρὰ τὸν θεὸν ἢ ὁμοίως εἶχεν. εἰ μὲν γὰρ ἠλάττωται, τί τὸ αἴτιον; ὕλης μὲν γὰρ οὐδὲν μετεῖχεν τῶν παρὰ θεῷ, ἓν δὲ μόνον ἀγαθὸν εἰσάγει, τὸν θεόν, καὶ ἓν κακόν, τὴν ὕλην. εἰ δὲ ὁμοίως εἶχεν, τίνος ἕνεκα ὃς μὲν ὥσπερ τις βασιλεὺς ἐπέταττεν, ἣ δὲ τὸν πόνον τὸν ἀκούσιον ἀνέτλη τοῦτον; καὶ ἐπὶ τῆς ὕλης δὲ ζητηθήσεται πότερον εἰς τὸ κακὸν ὅμοιαι ἢ ἐλάττους δυνάμεις. εἰ γὰρ ἐλάττους, πάντως γε κακίας ἐλάττους· μετοχῇ ἄρα τοῦ ἀγαθοῦ αὗται ἂν γένοιντο, δύο γὰρ ὄντων κακῶν τὸ ἧττον τοιοῦτον κατὰ μετάληψιν τοῦ ἀγαθοῦ πάντως που οὕτως ἔσχηκεν. ἀγαθὸν δὲ οὐδὲν περὶ τὴν ὕλην ἀπολείπουσιν. πάλιν τοίνυν ἀπορία ἑτέρα· εἰ γάρ τις ἄλλη δύναμις τῷ κακῷ ὑπερβάλλει τὴν ἡγεμονεύουσαν ὕλην, αὕτη ἐστὶν ἡγεμονικωτέρα, τὸ γὰρ μᾶλλον κακὸν τῆς ἀρχῆς τῆς κατ’ αὐτὴν ἡγεῖτο. Τὸ δὲ ‘κατέπεμψεν ὁ θεὸς δύναμιν ἐπὶ τὴν ὕλην‘ λέγεται μὲν μετ’ οὐδεμιᾶς ἀποδείξεως, ἔστι δὲ πιθανὸν οὐδ’ ὁπωστιοῦν, χρὴ δὲ ὁμοίως καὶ αὐτὸ τυχεῖν τῶν οἰκείων λόγων.

12 τὸ μὲν γὰρ αἴτιον τούτου ἐκεῖνο εἶναί φασιν· ‘ὅπως μηδὲν μὲν ᾖ κακὸν ἀγαθὰ δὲ πάντα, ἔδει μιχθῆναι τὴν δύναμιν τῇ ὕλῃ κατὰ τοὺς ἀθλητὰς τοὺς ἐν τῷ συμπλέκεσθαι καταγωνιζομένους τοὺς ἀντιπάλους, ἵνα κρατήσασα τοῦ κακοῦ παύσῃ αὐτὸ τοῦ εἶναι.‘ πολὺ δὲ οἶμαι σεμνότερον καὶ τῆς τοῦ θεοῦ ὑπεροχῆς ἐπάξιον τὸ ὁμοῦ νοήματι τῶν ὄντων ἀφανίσαι τὴν ὕλην. ἀλλ’ οἶμαι τοῦτο οὐκ ἀπεδέξαντο διὰ τὸ καὶ νῦν κακόν τι ὑπάρχειν, ὃ τὴν ὕλην εἶναί φασιν. τὰ πράγματα δὲ οὐδὲν μᾶλλον δύνανται παύσασθαι ὄντα τοιαῦτα, ἵνα τις τὸ μὴ μεταβάλλεσθαι εἰς τὰ χείρω ἔνια συγχωρήσῃ· ἔδει δέ τινα αἴσθησιν γενέσθαι τούτου, ὅτι μετρίως ὁπωσδήποτε ἐμειώθη ταῦτα, ἵνα καὶ τὰς εἰς τὸ μέλλον ἐλπίδας βελτίους ἔχωμεν. καλῶς γὰρ δὴ πρὸς τὸν Ζήνωνος τοῦ Κιτιέως εἴρηται λόγον, ὃς ‘τὸ πᾶν ἐκπυρωθήσεται‘ λέγων ‘πᾶν τὸ καῖον ἔχον καύσῃ ὅλον καύσει, καὶ ὁ ἥλιος πῦρ ἐστιν καὶ ὃ ἔχει οὐ καύσει;‘ ἐξ οὗ συνήγετο, ὡς ᾤετο, τὸ πᾶν ἐκπυρωθήσεσθαι· πρὸς ὅν τις τῶν χαριεστέρων εἰρηκέναι λέγεται· ‘ἀλλ’ ἐγώ τοι χθὲς καὶ πρὸ ἐνιαυτοῦ καὶ πρὸ πλείονος χρόνου εἶδον καὶ νῦν ὁμοίως ὁρῶ οὐδὲν ὑπὸ τοῦ πυρὸς τοῦ ἡλίου πεπονθώς· χρῆν δὲ σὺν χρόνῳ κατ’ ὀλίγον γενέσθαι τοῦτο, ἵνα καὶ ὅτι ποτὲ ἐκπυρωθήσεται τὸ ὅλον πιστεύσωμεν.‘ καὶ πρὸς τὸν Μανιχαίου δὴ λόγον—καίτοι σὺν οὐδεμιᾷ πίστει ῥηθέντα—ἡ αὐτὴ οἶμαι ἀπόκρισις ὅτι ‘ἀλλ’ οὐδὲν ἐμειώθη ταῦτα, ἀλλὰ καὶ πρότερον ἦν ἐπὶ τοῦ πρώτου γενομένου ἀνθρώπου, ὅπου ἀδελφὸς ἀδελφὸν ἀπόλλυσιν, καὶ νῦν ἔτι ἔστιν καὶ πόλεμοι οἱ αὐτοὶ καὶ ποικιλώτεραι ἐπιθυμίαι· χρῆν δὲ εἰ καὶ μὴ πεπαῦσθαι, μεμειῶσθαι γοῦν ταῦτα, ἵνα θαρσήσωμεν ὅτι καὶ παύσεταί ποτε σὺν τῷ χρόνῳ· ὄντων δὲ τῶν αὐτῶν ἐκεῖθεν τίς ἡ πίστις τῶν εἰς τὸ μέλλον;‘ Τίνα δὲ καὶ τὰ κακὰ εἶναι λέγει; περὶ μὲν γὰρ τὸν ἥλιον καὶ τὴν σελήνην οὐδὲν ἀπολείπει· περὶ δὲ τὸν οὐρανὸν καὶ τοὺς ἀστέρας εἴ τι τοιοῦτον εἶναί φησιν, καὶ τί ποτ’ ἐστὶν τοῦτο, εὔλογον ἐφεξῆς ζητεῖν.

13 ἀλλ’ ἡ μὲν ἀταξία κατ’ αὐτούς ἐστι τὸ κακὸν καὶ ἡ ἄτακτος κίνησις· ταῦτα δὲ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχει, καὶ οὔτε τινὰ τῶν πλανωμένων αἰτιάσεται ὡς παρὰ τὸν τεταγμένον χρόνον ἐπιμεῖναί ποτε ζῳδίῳ ἀξιώσαντα, οὔτε τῶν ἀπλανῶν ὡς οὐκ ἐπὶ τῆς αὐτῆς μένοντα ἕδρας καὶ μὴ συμπεριπολοῦντα τῇ τοῦ παντὸς περιφορᾷ ἐν ἑκατὸν ἔτεσιν μίαν μοῖραν ἐπὶ τὰ ἑπόμενα κινούμενον. ἐν γῇ δὲ εἰ τὸ ἀνήμερον ἐνίων χωρίων αἰτιᾶται, ἢ μέμφονται οἱ κυβερνῆται τοὺς ἐν τῇ θαλάσσῃ χειμῶνας, πρῶτον μὲν κατ’ αὐτοὺς τῆς τοῦ ἀγαθοῦ μοίρας τὰ τοιαῦτα. εἰ γοῦν ἐπὶ γῆς μηδὲν φύοιτο, τάχιστα ἂν ἀπόλοιτο πάντα τὰ ζῷα· τοῦτο δὲ πολὺ τῆς ἐναπειλημμένης τῇ ὕλῃ δυνάμεως πρὸς τὸν θεὸν παραπέμψαι δύναται, καὶ πολλὰς σελήνας δεήσει γενέσθαι, ἵνα ἀθρόως χωρῆσαι δυνηθῶσι τοσαύτας προσπελαζούσας ψυχάς. τὰ δὲ αὐτὰ καὶ περὶ τὴν θάλατταν· ἕρμαιον γὰρ ἀπόλλυσθαι, ἵνα τάχιστα τῆς πρὸς τὸν θεὸν ὁδοῦ ἔχωνται οἱ ἀπολλύμενοι. οἱ δὲ πόλεμοι οἱ ἐπὶ γῆς καὶ λιμοὶ καὶ πᾶν ὅ τι φθοροποιὸν ἐν πλείστῃ τιμῇ κατ’ αὐτούς· πᾶν γὰρ τὸ ἀγαθῶν αἴτιον τιμητόν, ἀγαθοῦ δὲ αἴτια ταῦτα ἐκ τῆς συμβαινούσης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φθορᾶς πρὸς τὸν θεὸν παραπέμπει τὴν διακρινομένην ἀπὸ τῶν ἀπολλυμένων δύναμιν. ἠγνοήκαμέν τε, ὡς ἔοικεν, ὅτι ἐν δίκῃ τὸν κροκόδειλον καὶ τὸν λέοντα καὶ τὸν λύκον τιμῶσιν Αἰγύπτιοι, ἐπειδὴ ταῦτα μάλιστα παρὰ τὰ ἄλλα ζῷα καρτερώτατα ὄντα καταναλίσκει σιτούμενά τε αὐτὰ καὶ πάντα τρόπον διαφθείροντα, καὶ τὸν ἀετὸν καὶ τὸν ἱέρακα, ὅτι καὶ ταῦτα τῶν ἐν ἀέρι καὶ ἐπὶ γῆς ἀσθενεστέρων ζῴων ἀναιρετικά.

14 τάχα δὲ κατ' αὐτοὺς ὁ ἄνθρωπος διὰ τοῦτο ἐν πλείστῃ τιμῇ, ὅτι μάλιστα πάντων ταῖς ἐπινοίαις καὶ ταῖς τέχναις πλεῖστα τῶν ζῴων δαμάζειν εἴωθεν, ἵνα καὶ αὐτὸς μὴ ἀμοιρῇ τούτου τοῦ ἀγαθοῦ, βορὰ ἑτέρων γίνεται. πάλιν οὖν αἱ γενέσεις ἄτοποι κατ' αὐτούς, ἐκ μικροῦ καὶ τοῦ τυχόντος σπέρματος πάμμεγά τι ἀποτελοῦσαι, καὶ πολὺ κάλλιον κατ' αὐτοὺς ἀνῃρῆσθαι ταύτας ὑπὸ τοῦ θεοῦ, ἵνα ἂν σύντομος ἐγένετο ἀπαλλαγὴ τῆς ἐνταῦθα διατριβῆς τῆς δυνάμεως τῆς θείας. ἀλλὰ τί καὶ πρὸς ἀκολασίας καὶ ἀδικίας καὶ πᾶν ὁτιοῦν τοιοῦτον, φήσειέν τις ἄν, ὁ Μανιχαῖος ἐρεῖ; οὐκοῦν πρὸς ταῦτα βοηθὸς δέδοται ἡ παίδευσις καὶ ὁ νόμος; ἡ μὲν παίδευσις ἐκφροντίζουσα τοῦ μηδὲ τοιοῦτόν τι περὶ τοὺς ἀνθρώπους συμβαίνειν, ὁ νόμος δὲ τιμωρούμενος τὸν ἁλόντα ἔν τινι τῶν ἀδικημάτων ὄντα. —ἔπειτα δὲ τί τὸ ἔγκλημα τῆς γῆς—εἰ γεωργὸς ἀμελήσειεν τοῦ ταύτην ἡμεροῦν —ὅτι ἠλάττωται ἡ τοῦ θεοῦ ἀρχή, ἥτις ἐστὶν κατὰ τὸ δίκαιον, ὅταν ᾖ τὰ μὲν καρπῶν γόνιμα τὰ δὲ μὴ τοιαῦτα, ἢ φερομένων τῶν πνευμάτων καθ' ἑτέραν αἰτίαν τοὺς μὲν ὠφελεῖσθαι τοὺς δὲ καὶ ἀβούλητά τινα ὑπομένειν συμβαίνῃ; ἀπείρους τ' οὐκ ἐχρῆν εἶναι τῆς τῶν ἐνδεχομένων φύσεως καὶ τῆς τῶν ἀναγκαίων, οὕτω γὰρ οὐκ ἂν τὰ τοιαῦτα ἐτερατεύοντο. Πόθεν οὖν ἡδονὴ καὶ ἐπιθυμία; ταῦτα γὰρ μάλιστα κακὰ εἶναι λέγουσιν, καὶ δι' ἃ μεμισήκασιν τὴν ὕλην, οὐχ ἕτερα μᾶλλόν ἐστιν.

15 ὅτι μὲν οὖν [οὐ] περὶ τὰ αἰσθητικὰ τῶν ζῴων μόνον ἐστὶ ταῦτα καὶ οὐδὲν ἕτερον ἀντιλαμβάνεται ἐπιθυμίας καὶ ἡδονῆς ἢ τὰ αἰσθανόμενα, φανερόν. ποία γὰρ αἴσθησις ἡδονῆς καὶ λύπης φυτῷ, ποία δὲ γῇ 〈ἢ〉 ὕδατι ἢ ἀέρι; οἱ δαίμονές τε—εἴπερ εἰσὶν αἰσθητικὰ ζῷα—διὰ τοῦτο ἴσως τοῖς νενομισμένοις περὶ τὰς θυσίας ἥδονται καὶ ἀπολειπομένων δυσφοροῦσιν, οὐδενὸς τοιούτου περὶ θεοῦ ἐπινοεῖσθαι δυναμένου. οἱ δὴ λέγοντες 'διὰ τί ἥδεται καὶ ἐπιθυμεῖ τὰ ζῷα;' αἰτιάσθωσαν πρότερον, διὰ τί ἐστιν αἰσθητικὰ ταῦτα ἢ διὰ τί τροφῆς δεῖται. ἃ μὲν γὰρ ἦν ἀθάνατα ζῷα καὶ φθορᾶς καὶ αὔξης ἀπήλλακται—οἷον ἥλιος καὶ σελήνη καὶ ἀστέρες—, καίτοι ὄντα αἰσθητ〈ικ〉ά, ἐκτὸς δὲ τούτων ἐστὶν καὶ τῆς τοιαύτης αἰτιάσεως· ὁ δὲ ἄνθρωπος καὶ αἴσθεσθαι καὶ κρίνειν δυνάμενος καὶ δυνάμει σοφός— ἔχει γὰρ δύναμιν τοιοῦτος γενέσθαι —ἀπολαβὼν τὸ ἴδιον δή, καταπατεῖ. ὅλως γὰρ ἄξιον πυθέσθαι τούτων τῶν ἀνδρῶν, πότερον οὐδένα ἄνθρωπον δυνατὸν σπουδαῖον γενέσθαι ἤ τινά γε ἐνδέχεται.

16 εἰ μὲν γὰρ οὐδεὶς σοφός, τί δήποτε αὐτὸς ὁ Μανιχαῖος— ἐῶ γὰρ τοὺς ἄλλους—οὐ μόνον σπουδαῖος εἶναι λέγει, ἀλλὰ καὶ ἄλλους φησὶν ἱκανὸς εἶναι τοιούτους ποιῆσαι; εἰ δ' ὅλως ἔστιν τις, τί κωλύει καὶ πάντας γενέσθαι σπουδαίους; ὃ γὰρ περὶ ἕνα, καὶ περὶ πάντας ἐνδέχεται, καὶ δι' ὧν καὶ εἷς, διὰ τούτων καὶ πάντες ἐνάρετοι ἂν γένοιντο· εἰ μή τί φασιν τῆς δυνάμεως πλεῖστον τοῖς τοιούτοις ἐναπολαμβάνεσθαι. πάλιν τοίνυν πρῶτον μὲν τίς χρεία τοῦ περὶ τὴν παίδευσιν πόνου; γενοίμεθα γὰρ ἂν καθεύδοντες σπουδαῖοι. ἢ διὰ τί μάλιστα τοὺς ἀκρωωμένους αὐτῶν οἱ τοιοῦτοι ἄνδρες εἰς ἐλπίδα ἄγουσι τοῦ καλοῦ; καὶ γὰρ καλινδούμενοι σὺν ταῖς ἑταίραις τὸ οἰκεῖον ἔχοιεν ἂν ἀγαθόν. εἰ δὲ ἡ παίδευσις καὶ ἡ περιαγωγὴ ἡ βελτίων καὶ τὸ σπουδαῖον περὶ τὴν τῆς ἀρετῆς ἀνάληψιν τοιοῦτον αὐτὸν ἀπειργάσαντο, πάντες γινέσθωσαν τοιοῦτοι, καὶ ἀνῄρηται ἡ θρυλουμένη ὑπ' αὐτῶν τῆς ὕλης ἄτακτος κίνησις. πολὺ δὲ κάλλιον ἦν τὴν σοφίαν ὅπλον φάναι τοῖς ἀνθρώποις ὑπὸ τοῦ θεοῦ δεδόσθαι, ἵν' ὅ ἐστιν αὐτοῖς διὰ τὸ αἰσθητικοῖς εἶναι ἐξ ἐπιθυμίας καὶ ἡδονῆς, τοῦτο κατὰ μικρὸν εἰς τὸ ἀγαθὸν περιάγουσα τὸ ἑπόμενον ἄτοπον ἐξ αὐτῶν ἀνέλῃ· οὕτω γὰρ αὐτοί τε ἀρετὴν ἐπαγγελλόμενοι διδάσκειν ζηλωτοὶ ἂν ἦσαν τῆς προθέσεως καὶ τοῦ βίου, πολλή τε ἂν ἦν ἐλπὶς τοῦ ὅτι ποτὲ παύσεται τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακὰ πάντων γενομένων σοφῶν. ὃ δοκεῖ μοι κατανενοηκέναι ὁ Ἰησοῦς καὶ ἵνα μὴ ἀπεληλαμένοι ὦσι τοῦ ἀγαθοῦ γεωργοί τε καὶ τέκτονες καὶ οἰκοδόμοι καὶ οἱ ἄλλοι ἀπὸ τῶν τεχνῶν, κοινὸν συνέδριον καθίσαι πάντων ὁμοῦ καὶ διὰ ἁπλῶν καὶ εὐκόλων διαλέξεων καὶ εἰς θεοῦ ἔννοιαν αὐτοὺς ἀπενηνοχέναι καὶ τοῦ καλοῦ εἰς ἐπιθυμίαν ἐλθεῖν ποιῆσαι. Ἀλλὰ γὰρ πῶς ποτε λέγεται τὸ 'κατέπεμψε τὴν δύναμιν τὴν θείαν ὁ θεὸς ἐπὶ τὴν ὕλην'; εἰ μὲν γὰρ ἦν ἀεὶ καὶ οὔτε ὁ θεὸς πρότερος αὐτῆς ἐπινοεῖται οὔτε ἡ ὕλη, τρεῖς πάλιν οὕτως εἰσὶν ἀρχαὶ κατὰ τὸν Μανιχαῖον, τάχα δὲ καὶ πάμπολλαι φανήσονται ὀλίγῳ ὕστερον.

17 εἰ δ' ἐπιγενητή, πῶς ἐστιν [πῶς] ὕλης ἄμοιρος αὐτή; εἰ δὲ μέρος ἐστὶν τοῦ θεοῦ, πρῶτον μὲν σύνθετον καὶ σωματικὸν ἀποφαίνουσιν οὕτως τὸν θεόν· τοῦτο δὲ ἄτοπον καὶ ἀδύνατον. εἰ δὲ ἐποίησεν αὐτὴν καὶ ὕλης ἄμοιρός ἐστιν, θαυμάζω πῶς οὐκ ἐσκόπησαν οὔτε οὗτος οὔτε οἱ ἀπ' ἐκείνου, ὅτι εἰ—ὃ λέγεται κατὰ τὴν ἀληθῆ δόξαν ὅτι τὰ ἐφεξῆς μένοντος τοῦ θεοῦ ὑποστάσεις εἰσὶν—τὴν δύναμιν ταύτην ἐποίησεν βουληθεὶς ὁ θεός, πῶς οὐχὶ καὶ τῶν ἄλλων ἁπάντων τῶν γενομένων αἴτιος ἐγένετο οὐδὲν ὕλης προϋπαρχούσης προσδεηθείς. τὰ μὲν δὴ φαινόμενα ἄτοπα ἐκ τούτου τοιαῦτα, ἑπόμενα δὲ τὰ ἑξῆς. ἆρά τε γὰρ φύσιν εἶχεν ἡ δύναμις ῥεῖν ἐπὶ τὴν ὕλην; ἢ παρὰ φύσιν ἦν αὐτῇ τοῦτο; πῶς οὖν ἐμίχθη; εἰ δὲ κατὰ φύσιν αὐτῇ τοῦτο, πάντως που καὶ ἀεὶ σὺν τῇ ὕλῃ ἦν· εἰ δὲ τοῦτο, πῶς κακῶς τὴν ὕλην ἀγορεύουσιν μῖγμα οὖσαν ἐξ ἀρχῆς πρὸς τὴν θείαν δύναμιν; πῶς δὲ καὶ φθαρήσεται μιχθείσης τῆς θείας δυνάμεως πρὸς αὐτὴν ἀποχωρησάσης ποτέ; ἔσῳζεν γὰρ δὴ τὰ καλὰ καὶ ἑτέρου τινὸς ἀγαθοῦ αἴτια γίγνεσθαι οἷς ἂν παρῇ εὔλογον ἢ διαφθορὰν ἢ ἄλλο τι κακὸν ἕτερον ἐπάγειν αὐτοῖς. τὸ μὲν γὰρ δὴ σοφὸν τὸ λεγόμενον ὑπ' αὐτῶν ἐκεῖνό ἐστιν, ὅτι ὥσπερ ὁρῶμεν τῆς ψυχῆς τοῦ σώματος ἀποζευχθείσης τὸ σῶμα αὐτὸ ἀπολλύμενον, οὕτω καὶ τῆς δυνάμεως ἀφείσης τὴν ὕλην τὸ λειπόμενον— ὅπερ ἐστὶν ἡ ὕλη—διαλυθὲν οἰχήσεται.

18 πρῶτον μὲν γὰρ οὐχ ὁρῶσιν ὅτι τῶν ὄντων οὐδὲν οἷόν ἐστιν φθείρεσθαι εἰς τὸ μὴ ὄν, τὸ γὰρ μὴ ὂν οὐκ ἔστιν· διασκεδασθέντων δὲ τῶν σωμάτων καὶ μεταβολήν τινα σχόντων διάλυσις γίνεται, ὥστε τὸ μὲν εἰς γῆν ἀπελθεῖν τὸ δὲ εἰς ἀέρα τὸ δὲ εἰς ἄλλο τι. ἔπειτα δὲ οὐ μέμνηνται ὅτι κίνησιν ἄτακτον ὑποτίθενται εἶναι τὴν ὕλην. τὸ δὲ δι' αὑτὸ κινούμενον καὶ οὗ ἐστιν οὐσία ἡ κίνησις, ἀλλὰ μὴ κατὰ συμβεβηκὸς ὑπάρχει αὐτῷ, πῶς εὔλογον τῆς δυνάμεως ἀπελθούσης παύσασθαι τοῦ ὅπερ ἦν πρὶν καὶ τὴν δύναμιν εἰς αὐτὸ κατελθεῖν; οὐχ ὁρῶσι δὲ τὸ παραλλάττον, ὅτι πᾶν μὲν σῶμα ψυχῆς ἄμοιρον ἀκίνητον—ἔχει γὰρ καὶ τὰ φυτὰ τὴν φυτικὴν ψυχήν—, τῆς δὲ ὕλης αὐτὴν τὴν οὐσίαν κίνησιν εἶναί φασιν, ἄτακτον μέντοι. κάλλιον δὲ ἦν, καθάπερ ἐπὶ λύρας ἀνάρμοστα μελῳδούσης ἡ ἁρμονία ἐλθοῦσα τὸ πᾶν ἡρμοσμένον ἀπειργάσατο, οὕτω δὲ μιχθεῖσαν τὴν θείαν δύναμιν τῇ ἀτάκτῳ κινήσει— ὅπερ ἐστὶν κατ' αὐτοὺς ἡ ὕλη—ἀντὶ τῆς ἐνούσης ἀκοσμίας κόσμον τινὰ αὐτῇ ἐπιτεθεικέναι καὶ ἀεὶ ἐπιθεῖναι τοῦ θείου χοροῦ ἐπάξιον. ἐπεὶ πῶς ποτε αὐτὸς ὁ Μανιχαῖος περὶ τούτων ἐγένετο ἱκανὸς διαλαβεῖν καὶ τῷ ποτε αὐτὰ ἀφηγήσατο; ὡς γὰρ μῖγμα γέγονεν καὶ αὐτὸς τῆς ὕλης καὶ τῆς ἐναποληφθείσης αὐτῇ δυνάμεως, συγχωροῦσιν. εἴτε οὖν ᾧ εἶχεν τῇ ἀτάκτῳ κινήσει ταῦτα ἔλεγεν, πῶς οὐ φαύλη ἡ δόξα; εἴτε τῇ θείᾳ δυνάμει, ἀμφίδοξον ἤδη τὸ δόγμα· τῷ μὲν ἀπὸ τῆς θείας δυνάμεως εἶναι, μέτοχον ἀληθείας, τῷ δὲ [ἀπὸ τῆς ἀτάκτου κινήσεως] τοῦ ἑτέρου μέρους μετέχειν, μεθιστάμενον εἰς τὸ ψεῦδος. εἰ δὲ εἴρητο ὡς ἡ θεία δύναμις τὴν ὕλην ἐκόσμησεν καὶ κοσμεῖ, μακρῷ ἂν ἦν σοφώτερον καὶ πρὸς ἀξιοπιστίαν τῶν Μανιχαίου λόγων συμβαλλόμενον μᾶλλον.

19 Ἀλλὰ γὰρ 'ἑτέραν δύναμιν κατέπεμψεν ὁ θεός'. ἃ μὲν δὴ εἴρηται περὶ τῆς προτέρας δυνάμεως, κοινὰ καὶ περὶ ταύτης ἐστίν, καὶ ὅσα ἄτοπα ἕπεται τῷ λόγῳ τῷ περὶ τῆς πρώτης αὐτῶν δυνάμεως, ταῦτα καὶ νῦν ἔστι λέγειν. τὸ δὲ ἄλλο τίς 〈ἂν〉 ἀνάσχοιτο; διὰ τί γὰρ δὴ οὐ πάντα μίαν τινὰ δυναμένην δύναμιν κατέπεμψεν ὁ θεός; ἢ ἀνθρώπου μὲν νοῦς οὕτως ἐστὶν πρὸς

πάντα ποικίλος, ὥστε 〈ὁ〉 αὐτὸς μὲν εἶναι γεωμετρικός, ὁ αὐτὸς δὲ ἀστρονομικὸς καὶ τεκτονικὸς καὶ εἴ τι τοιοῦτον, θεῷ δὲ ἄρα ἦν ἄπορον εὑρεῖν τοιαύτην δύναμιν ἥτις αὐτῷ πρὸς πάντα ἦν ἱκανή, ἵνα μὴ πρώτης καὶ δευτέρας δέηται; διὰ τί δὲ ἡ μὲν δύναμίς ἐστιν δημιουργική, ἣ δὲ παθητικὴ μᾶλλον, ὡς καλῶς αὐτῇ ἔχειν πρὸς τὴν ὕλην κεράννυσθαι; οὐχ ὁρῶ γὰρ πάλιν ἐνταῦθα τὸ αἴτιον τῆς τάξεως τοῦ καλοῦ καὶ τῆς κατ’ αὐτοῦ ὑπεροχῆς, εἰ κακὸν [ἦν] οὐκ ἦν ἐν τῷ τοῦ θεοῦ οἴκῳ. εἰ γὰρ μόνον καλὸν ὁ θεὸς καὶ μόνον κακὸν ἡ ὕλη, μέσα τὰ ἄλλα καὶ μεταξὺ ἀνάγκη φάναι. ἀλλὰ εὑρίσκεταί τις ποιητὴς διάφορος περὶ τὰ μέσα, ὅταν φῶσιν τὴν μὲν δημιουργικὴν αἰτίαν, τὴν δὲ μικτὴν πρὸς τὴν ὕλην. τάχα οὖν ἐστιν τὸ προηγούμενον καὶ ἀποπροηγησάμενον τοῦτο, ὃ καὶ οἱ νεώτεροι λέγουσιν ἐν τῷ περὶ τῶν ἀδιαφόρων λόγῳ. Τῆς δὲ δημιουργικῆς φασιν δυνάμεως ἐπιχειρησάσης τῇ κοσμοποιίᾳ ἀποκεκρίσθαι τῆς ὕλης τὸ μεῖναν ἐπὶ τῆς ἰδίας ἀρετῆς κἀν τῇ συμμίξει καὶ γεγονέναι ἥλιον καὶ σελήνην, τὸ δὲ μετρίας μετειληφὸς κακίας οὐρανὸν καὶ ἀστέρας, λοιπὸν δὲ τὰ ἄλλα ἐντὸς τούτων περιειλῆφθαι ὡς ἔτυχεν μίγματα ὄντα τῆς τε θείας δυνάμεως καὶ τῆς ὕλης. ἐγὼ δὲ παρὰ πάντα ταῦτα θαυμάζω πῶς οὐκ αἰσθάνονται σωματικὴν ποιοῦντες τὴν θείαν δύναμιν καὶ τέμνοντες καθάπερ τὰ μέρη. [30]

20 διὰ τί γὰρ οὐχ ὕλη καὶ ἡ θεία δύναμις, εἰ δή ἐστιν παθητὴ καὶ διαιρετὴ [η] διὰ πάσης αὐτῆς καὶ τὸ μέν τι αὐτῆς γίνεται ἥλιος, τὸ δὲ σελήνη; καθαρῶς γὰρ ταῦτα εἶναί φασιν τῆς θείας δυνάμεως. τοῦτο δὲ ἦν ὃ ἐλέγομεν ἴδιον τῆς ὕλης εἶναι, τὸ μηδέν τι οὖσαν καθ’ ἑαυτὴν δεχομένην δὲ τὰ σχήματα καὶ τὰς ποιότητας πάντα γίγνεσθαι τὰ διωρισμένα. εἰ οὖν ὡς ἀφ’ ἑνὸς ὑποκειμένου τῆς θείας δυνάμεως μόνον γέγονεν ἥλιος καὶ σελήνη, ταῦτα δὲ ἕτερα καὶ ἕτερα, διὰ τί μὴ καὶ ἄλλο τι γένηται; εἰ δὲ πάντα γενήσεται, τὸ συμβαῖνον φανερόν, ὅτι ἡ θεία δύναμις ὕλη καὶ αὐτή, πρὸς τὰ σχήματα ποιουμένη. εἰ δὲ οὐδὲν ἕτερον 〈ἢ〉 ἥλιος καὶ σελήνη τὰ ἐκ τῆς θείας δυνάμεώς ἐστι γιγνόμενα, τὰ ἐναπειλημμένα ἄρα πᾶσιν τοῖς οὖσιν ἥλιός ἐστιν καὶ σελήνη καὶ ἕκαστος τῶν ἀστέρων ἥλιός ἐστιν καὶ σελήνη ἢ τὸ ἕτερον, καὶ τῶν χερσαίων ζῴων καθ’ ἕκαστον καὶ τῶν πτηνῶν καὶ τῶν ἀμφιβίων. ταῦτα δὲ ὅτι οὐδὲ οἱ τὰ θαύματα δεικνύντες ἀποδέξαιντο ἄν, οἶμαι παντί τῳ δῆλον εἶναι. Τὸ δὲ μετὰ ταῦτα ἐπισκοποῦσιν οὐκ εὐθεῖα ἡ ὁδὸς ἀλλὰ δυσαντοτέρα τῆς παρελθούσης. [20]

21 λέγουσιν γὰρ μηδὲν ἄτοπον πεπονθέναι κατὰ τὴν σύμμιξιν πρὸς τὴν ὕλην ἥλιον καὶ σελήνην· εἶτα πῶς τὰ ἄλλα ἠλαττώθη παρὰ τὴν ἰδίαν φύσιν οὐκ ἔχουσι λέγειν. εἰ μὲν γὰρ καὶ ὅτε καθ’ αὑτὴν ἦν ἡ θεία δύναμις οὕτως εἶχεν ὥστε τὸ μέν τι αὐτῆς εἶναι καλὸν τὸ δὲ κάλλιον, 〈καὶ〉 κατὰ τὸν τῶν Ἱπποκενταύρων μῦθον, οἳ τὸ μὲν ἄχρι στηθῶν ἄνθρωποι ἦσαν τὸ λοιπὸν δὲ ἵπποι — καλὰ μὲν ἑκάτερα τὰ ζῷα κάλλιον δὲ ὁ ἄνθρωπος—, οὕτω καὶ ἐπὶ τῆς θείας δυνάμεως ἔστιν ἐπινοῆσαι τὸ μέν τι αὐτῆς τῷ καλῷ διαφέρον τὸ δὲ ἐλαττούμενον κατὰ τοῦτο, καὶ ἐπὶ τῆς ὕλης δὲ τὸ μὲν ὑπάρχει ὑπερβολήν τινα ἔχον κακίας 〈.....〉 —τὰ ἕτερα μὲν ἕτερα καὶ ἕτερα 〈.....〉 —, ἄλλος ἂν ἦν λόγος. ἐνεδέχετο γὰρ ὑπολαβεῖν ὅτι ἐμφρονέστερ’ ὄντα ἐξ ἀρχῆς ἥλιος καὶ σελήνη τὰ ἧττον πονηρὰ τῆς ὕλης εἰς τὴν σύμμιξιν ἐξελέξατο, ἵνα μένῃ ἐπὶ τῆς ἰδίας ἀρετῆς, ἐξασθενησάντων τηλικῶνδε πονηρευμάτων ἐκβιάσασθαι τοσαύτην ὑπεροχὴν ἐν τῷ ἀγαθῷ· τὰ δὲ ἄλλα μέρη αὐτῆς ἦν πεσόντα, οὐκ ἀπρονοήτως μέν, οὐ μὴν μετὰ τῆς ἴσης προνοίας, ἀπολαῦσαι μᾶλλον κακίας τῆς ἐν αὐτῇ κατὰ τὸ ποσὸν ἕκαστον. ἐπειδὴ δὲ οὐδὲν διάφορον περὶ τῆς δυνάμεως ταύτης παρ’ αὐτῶν λέγεται ἀλλ’ ὁμοία διὰ πάσης αὐτῆς θεωρεῖται, ἀπίθανος ὁ λόγος ὅτι ἐν μὲν τῇ συμμίξει τὸ μὲν ἔμεινεν ἀκέραιον τὸ δὲ μετέσχεν κακίας τινός. Λέγουσι δὲ ὅτι καὶ ἥλιος καὶ σελήνη τὴν θείαν δύναμιν κατὰ μικρὸν διακρίναντες ἀπὸ τῆς ὕλης πρὸς τὸν θεὸν ἀποπέμπουσιν, τῆς σελήνης ἐν ταῖς νουμηνίαις μέχρι τῆς πανσελήνου εἰς ἑαυτὴν δεχομένης ταύτην εἶτα τῷ ἡλίῳ 〈δι〉 δούσης, τοῦ δὲ πρὸς τὸν θεὸν παραπέμποντος. [5]

22

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ δ’ ἦσαν καὶ κατὰ μικρὸν εἰς ἀστρονόμων θύρας φοιτήσαντες, οὐκ ἂν ταῦτα πεπόνθεσαν οὔτε ἠγνόησαν ἂν ὅτι ἡ σελήνη—κατά τινας ἄμοιρος οὖσα ἰδίου φωτός—ὑπὸ τοῦ ἡλίου καταλάμπεται, καὶ ὅτι οἱ σχηματισμοὶ αὐτῆς εἰσιν παρὰ τὰς τοῦ ἡλίου διαστάσεις, πανσέληνός τε γίγνεται ὅταν ἀπέχῃ τοῦ ἡλίου τὰς ἑκατὸν καὶ ὀγδοήκοντα μοίρας, σύνοδος δὲ ὅταν ἐπὶ τῆς αὐτῆς τῷ ἡλίῳ φέρηται μοίρας. ἔπειτα δὲ πῶς οὐ θαυμαστὸν ὅπως ποτὲ πολλαὶ οὖσαι αἱ ψυχαὶ καὶ ἀπὸ διαφόρων—καὶ γὰρ τοῦ κόσμου αὐτοῦ καὶ ζῴων καὶ φυτῶν καὶ νυμφῶν καὶ δαιμόνων εἶεν ἂν καὶ ἐν τούτοις πτηνῶν χερσαίων ἀμφιβίων—διακρίνονται τῇ ὄψει, ἀλλ’ ἕν τι σῶμα ὅμοιον ἀεὶ διὰ παντὸς φαίνεται ἡμῖν ἐν τῇ σελήνῃ. τί δὲ καὶ τὸ συνεχὲς τοῦ σώματος τούτου καὶ ὅτε μὲν διχότομός ἐστιν ἡ σελήνη, φαινόμενον ἡμικύκλιον, ὅτε δὲ ἀμφίκυρτος, τοιοῦτον 〈..;..〉 πάλιν πῶς ἀναλαμβάνονται ἐπὶ τὴν σελήνην ἢ ποίῳ χρώμεναι ὀχήματι; εἰ μὲν γὰρ κοῦφόν ἐστιν οἷον πῦρ, οὐκ ἄχρι τῆς σελήνης μόνον εἰκὸς γενέσθαι ἄν, ἀλλ’ ἄνωθεν διὰ παντός· εἰ δὲ βαρύ, οὐδ’ ἀρχὴν πρὸς σελήνην ἀφικέσθαι οἷόν τε. τίνα δὲ λόγον ἔχει τὸ πρῶτον ἀφικόμενον πρὸς σελήνην μὴ εὐθὺς πρὸς ἥλιον ἀναπέμπεσθαι, ἀλλ’ ἐκδέχεσθαι τὴν πανσέληνον καὶ τὰς τῶν ἄλλων ψυχῶν ἐπιδημίας; ὅτε τοίνυν ἀπὸ τῆς πανσελήνου ἡ σελήνη μειοῦται, 〈ἡ〉 ἀποχωριζομένη δύναμις τὸν χρόνον τοῦτον ποῦ μένει, ἕως ἂν κενωθεῖσα ἡ σελήνη τῶν προτέρων ψυχῶν καθάπερ πόλις ἔρημος δευτέραν πάλιν δέξηται ἀποικίαν; χρῆν γὰρ ἀφωρίσθαι καὶ θησαυρόν τινα ἔν τινι μέρει τῆς γῆς ἢ τῶν νεφελῶν ἢ ἑτέρου τόπου τινός, ἔνθα αἱ ψυχαὶ συναγειρόμεναι ἕτοιμαι γίγνονται πρὸς τὴν ἐπιδημίαν τὴν πρὸς σελήνην. ἀλλὰ πάλιν ἀπορία ἑτέρα. διὰ τί τοίνυν οὐκ εὐθὺς πληροῦται ἢ διὰ τί πάλιν τὰς πεντεκαίδεκα ἡμέρας περιμένει; οὐκ ἔλαττον δὲ τῶν εἰρημένων θαυμαστὸν καὶ τοῦτο, τὸ μηδέποτε ἀφ’ οὗ μέμνηνται οἱ ἄνθρωποι τὴν σελήνην ἐντὸς πεντεκαίδεκα ἡμερῶν πεπληρῶσθαι, ἀλλὰ μηδὲ ἐπὶ τοῦ κατακλυσμοῦ τοῦ ἐπὶ Δευκαλίωνος καὶ ἔτι μᾶλλον ἐπὶ Φορωνέως, ὅτε πάντα ὡς εἰπεῖν τὰ ἐπὶ γῆς διεφθάρη καὶ πολλὴν τὴν δύναμιν συνέβη διακεκρίσθαι τῆς ὕλης. χωρὶς δὲ τούτων καὶ φορὰς γενεῶν καὶ ἀφορίας καὶ φθορῶν ὁμοίως σκοπεῖν προσῆκεν, ὧν ὡσαύτως μὴ γινομένων κατὰ τάξιν χρῆν μηδὲ τὴν τάξιν τῶν πανσελήνων μηδὲ τῶν μειώσεων οὕτω τηρεῖσθαι. [45]

23 οὐ παρέργως δὲ οὐδὲ τοῦτο προσακτέον, ὅτι εἰ μὲν ἄπειρός ἐστιν ἡ ἐναπειλημμένη τῇ ὕλῃ δύναμις θεία, πρὸς τὸ μειοῦσθαι αὐτὴν οὐδὲν δύναται ἃ διαπραγματεύονται ἥλιος καὶ σελήνη —τὸ γὰρ λειπόμενον πάλιν ἄπειρον ἀπὸ πεπερασμένου τοῦ ληφθέντος· εἰ δέ ἐστιν πεπερασμένη, χρῆν αἴσθησιν γενέσθαι ἐν τοσούτῳ χρόνῳ, πόσον ποτὲ τῆς δυνάμεως ταύτης ἐκ τοῦ κόσμου ἐμειώθη· ἀλλὰ πάντα ὁμοίως μένει. Τίνας δὲ μύθους οὐχ ὑπερβέβηκεν τῷ ἀπιθάνῳ καὶ ταῦτα, ὅτε κατὰ τὴν ὀφθεῖσαν ἐν ἡλίῳ εἰκόνα τῆς ὕλης τὸν ἄνθρωπον δημιούργημα εἶναι λέγωσιν; καὶ γὰρ εἰκόνες εἴδωλά εἰσιν τῶν ἀρχετύπων· εἰ δ’ ἐν ἡλίῳ τὴν εἰκόνα καταλείπουσιν, ποῦ τὸ παράδειγμα, πρὸς ὅπερ ἡ εἰκὼν αὐτοῖς ἀναπέπλασται; οὐ γὰρ δὴ αὐτόν γε τὸν ἄνθρωπον φήσουσιν τὸν ὄντως ἄνθρωπον εἶναι, οὐδὲ τὴν δύναμιν τὴν θείαν—ταύτην μὲν γὰρ πρὸς τὴν ὕλην μιγνύουσιν, ἐν ἡλίῳ δὲ τὴν εἰκόνα ἑωρᾶσθαι λέγουσιν, ὃς ἐγένετο κατ’ αὐτοὺς ἀπὸ τῆς πρὸς τὴν ὕλην ὕστερον διακρίσεως—, ἀλλ’ οὐδὲ τὴν δημιουργικὴν αἰτίαν—ταύτην γὰρ ἐπὶ σωτηρίᾳ τῆς θείας δυνάμεως καταπεπέμφθαι φασίν, καὶ πρὸ ἡλίου κατ’ αὐτοὺς πάντως γε ταύτην τακτέον, ἐπειδήπερ ἀφιγμένης αὐτῆς τὸν ἥλιον καὶ τὴν σελήνην τῆς ὕλης ἀποκεκρίσθαι συμβέβηκεν, ἐν ἡλίῳ δὲ τὴν εἰκόνα ἑωρᾶσθαι λέγουσιν. — ‘πεποίηκεν δὲ ἡ ὕλη‘ φασὶν ‘τὸν ἄνθρωπον.‘ τίνι ποτὲ τρόπῳ ἢ πῶς; οὐδὲ γὰρ πλάσασθαί γε τοῦτο δυνατόν. πρὸς γὰρ τῷ εἴδωλον εἰδώλου τὸν ἄνθρωπον ὑπάρχειν οὕτω γε κατ’ αὐτοὺς καὶ μηδεμίαν ἔχειν ὑπόστασιν, ἔτι οὐδὲ εἰς ἔννοιάν ἐστιν ἥκειν δυνάμενον, πῶς τῆς ὕλης ἔργον ἐστὶν ὁ ἄνθρωπος· τὸ γὰρ λογίζεσθαι καὶ αἴσθεσθαι οὐδὲ τῆς κατ’ αὐτοὺς ὕλης ἐστίν. τίς δὲ κατ’ αὐτοὺς ὁ ἄνθρωπος; ἆρά γε τὸ ἐκ τῆς ψυχῆς καὶ σώματος μῖγμα ἢ τὸ ἕτερον ἢ ὅλης ψυχῆς ἀνωτέρω νοῦς; ἀλλ’ εἴτε νοῦς ἐστιν, πῶς τὸ κάλλιον γένοιτ’ ἂν τοῦ χείρονος ἔργον; εἴτε ψυχή—ταύτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ τὴν θείαν δύναμιν εἶναι λέγουσιν—, πῶς ἀφαιρούμενοι τὸν θεὸν τὴν θείαν δύναμιν, ταύτην ὑπὸ τὴν τῆς ὕλης δημιουργίαν κατατάττουσιν; εἰ δὲ τὸ σῶμα μόνον καταλείπουσιν, ἀναμιμνῃσκέσθωσαν πάλιν ὅτι τοῦτο καθ’ ἑαυτὸ ἀκίνητον, τῆς δὲ ὕλης τὴν οὐσίαν κίνησιν εἶναί φασιν. ἀλλὰ μὴν ὅτε γε οὐδὲν καθ’ ἑαυτὸ ἐπὶ τὴν ὕλην ἄγεσθαι οἴονται, οὐδὲ τὸ ἐκ τούτων συνεστὸς εὔλογον ταύτης ἔργον εἶναι ὑπολαμβάνειν. καὶ μὴν τὸ γινόμενον ὑπό του ὅτι πάντως χεῖρον ἐκείνου, ἀναμφισβήτητον εἶναι δοκεῖ, οὕτω γὰρ ὁ κόσμος τοῦ δημιουργοῦ χείρων καὶ τῶν τεχνιτῶν ὅσα τούτων ἔργα. εἰ οὖν τῆς ὕλης ἔργον ὁ ἄνθρωπος, πάντως που ταύτης χείρων. ὕλης δὲ κάκιον οἱ ἄνδρες οὐδὲν καταλείπουσιν· καὶ οὐκ ἴσον τῇ ὕλῃ μίγνυσθαι τὴν θείαν δύναμιν ἢ τῷ ταύτης χείρονι.

23 (50) ἃ δὲ οἰκονομούμενοι λέγουσιν, ταῦτα οὐδὲ ἐπινοῆσαι οἷόν τε. διὰ τί γὰρ τῆς κρείττονος εἰκόνος εἰς τὴν τοῦ ἀνθρώπου ὑπόστασιν τὴν ὕλην δεδεῆσθαι νομίζουσιν; ἢ διὰ τί οὐκ αὐτάρκης ἡ εἰκὼν ὥσπερ τῶν κατόπτρων πρὸς τὸ πεφηνέναι τὸν ἄνθρωπον, ἢ καθάπερ αὐτὸς ὁ ἥλιος πρὸς γένεσιν ἁπάντων τῶν γινομένων καὶ φθορὰν αὐτάρκης; —‘ἐμιμήσατο δὲ τὴν εἰκόνα κατὰ τὴν ποίησιν τῆς σφετέρας αὐτῆς δημιουργίας.‘ τίνι ποτὲ ὧν εἶχεν; ἆρά γε τῇ μιχθείσῃ πρὸς αὐτὴν θείᾳ δυνάμει; οὐκοῦν ἐν ὀργάνου λόγῳ θεία δύναμις οὕτω γε πρὸς τὴν ὕλην. ἀλλὰ τῇ ἀτάκτῳ κινήσει; οὕτως εἰδοποιοῦσι τὴν ὕλην. ἀλλὰ πάντα γε τὰ ὅμοια ἐν τάξεσιν καὶ ἀκριβείαις διὰ μιμήσεων ἀφικνεῖται εἰς τέλος· οὐδὲ γὰρ οἰκίαν ἢ πλοῖον ἤ τι ἕτερον τῶν τεχνητῶν δι’ ἀταξίας ἀποτελεῖσθαι οἷόν τε οὐδὲ ἀνδριάντα, ὅνπερ ἡ τέχνη πρὸς ἀνθρώπου μίμησιν ἐμηχανήσατο. Τὸν δὲ χριστὸν οὐδὲ γιγνώσκοντες, ἀλλὰ χρηστὸν αὐτὸν προσαγορεύοντες τῇ πρὸς τὸ η στοιχεῖον μεταλήψει ἕτερον σημαινόμενον ἀντὶ τοῦ κυρίως περὶ αὐτοῦ ὑπειλημμένου εἰσάγοντες νοῦν εἶναί φασιν.

24 εἰ μὲν τὸ γνωστὸν καὶ τὸ γιγνῶσκον καὶ τὴν σοφίαν αὐτὸν λέγοντες, ὁμόφωνα οὕτως τοῖς ἀπὸ τῶν ἐκκλησιῶν περὶ αὐτοῦ λέγουσι διαταττόμενοι οὕτω γε ἁλώσονται. πῶς οὖν τὴν λεγομένην παλαιὰν ἅπασαν ἱστορίαν ἐκβάλλουσιν; εἰ δὲ ἐπιγενητὸν κατά τινας λέγουσιν καὶ τῶν ἔξωθεν ἐπεισιόντων καὶ συμβαινόντων, σκοπήσωμεν. οἱ γὰρ δὴ ταύτης προϊστάμενοι τῆς δόξης πιθανὸν μάλιστα λέγουσιν περὶ τὰ ζ ἔτη τῆς αἰσθητικῆς δυνάμεως διαρθρωθείσης αὐτὸν ἐπεισέρχεσθαι. εἰ δὴ νοῦς ἐστιν ὁ χριστὸς κατ’ αὐτούς, οὕτω γε ἔσται τε ἅμα καὶ οὐκ ἔσται. πρὶν μὲν γὰρ ἐπεισελθεῖν τὸν νοῦν οὐδέπω ἐστίν, εἴ γε νοῦς ἐστι κατ’ αὐτοὺς ὁ χριστός· ἀλλὰ μὴν ὄντι γε αὐτῷ ἐπεισέρχεται ὁ νοῦς· οὕτως οὖν πάλιν κατ’ αὐτοὺς ἔσται [ὁ νοῦς]. ἔστιν τε καὶ οὐκ ἔστιν ἐν τῷ αὐτῷ χρόνῳ ὁ χριστός. εἰ δὲ κατ’ αὐτῶν τὴν καλλίστην αἵρεσιν ὁ νοῦς κατ’ αὐτούς ἐστιν τὰ ὄντα πάντα, —ἐπεὶ τὴν ὕλην ἀγένητον ὑποτίθενται καὶ ἰσόχρονον ὡς εἰπεῖν τῷ θεῷ— καὶ νοῦν καὶ ὕλην τοῦτον τὸν τρόπον τὸν χριστὸν ὑποτίθενται εἶναι, 〈εἴ〉 γε τὰ πάντα κατ’ αὐτούς ἐστιν ὁ χριστὸς νοῦς ὢν ὅς ἐστιν τὰ πάντα, καὶ ἡ ὕλη ἓν τῶν ὄντων καὶ αὐτή, ἀγένητος οὖσα. Εἰς ἐπίδειγμα δὲ τοῦτον τὸν τρόπον καὶ τὴν θείαν δύναμιν ἐνεσταυρῶσθαι τῇ ὕλῃ, καὶ αὐτὸν ὑπομεμενηκέναι τὸ πάθημα τοῦτο λέγουσιν· ὥσπερ ἀδυνάτου ὄντος ἐκείνου τοῦτο ποιεῖν, ὅπερ αὐτὸς ὁ Μανιχαῖος διαπράττεται, λόγῳ περὶ τούτου διδάσκων, ὅτι ἡ θεία δύναμις εἰς τὴν ὕλην κατακέκλειται καὶ πάλιν ἀποχωρεῖ τρόπον 〈ὃν〉 αὐτοῖς ἀναπλάττουσιν. τὸ μὲν γὰρ κατὰ τὸν ἐκκλησιαστικὸν λόγον εἰπεῖν εἰς λύσιν ἁμαρτιῶν ἑαυτὸν ἐπιδεδωκέναι ἔχει πίστιν τινὰ πρὸς τοὺς πολλοὺς κἀκ τῶν ἱστοριῶν τῶν καθ’ Ἕλληνας, ὅταν φῶσίν τινας ὑπὲρ σωτηρίας πόλεων ἑαυτοὺς ἐπι〈δε〉δωκέναι, καὶ παράδειγμα τοῦ λόγου ἔχει καὶ ἡ Ἰουδαίων ἱστορία τὸν τοῦ Ἀβραὰμ παῖδα εἰς θυσίαν τῷ θεῷ παρασκευάζουσα· τὸ δὲ εἰς πράγματος ἐπίδειξιν τῷ παθήματι ὑπάγειν τὸν χριστὸν πολλῆς ἐστιν ἀμαθίας, εἰς διδασκαλίαν καὶ γνῶσιν τῶν ὄντων τοῦ λόγου ὄντος αὐτάρκους. Ἀπέχονται δὲ ἐμψύχων.

25 εἰ μὲν γὰρ ἑτέρου τινὸς χάριν, οὐ περιεργαστέον· εἰ δὲ διότι ἡ δύναμις ἡ θεία τούτων ἄπεστι μᾶλλον ἢ ἐνυπάρχει πλείων, γελοῖον αὐτὴ αὐτῶν ἡ προαίρεσις αὕτη. εἴτε γὰρ τὰ φυτὰ ἔνυλα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μᾶλλον, εἰς τροφὴν καὶ δίαιταν χρῆσθαι τῷ χείρονι πῶς εὔλογον; εἴτε πλείων ἐν τούτοις ἡ δύναμις ἡ θεία, τί πρὸς τὴν τροφὴν τὰ τοιαῦτα χρήσιμα, τοῦ θρεπτικοῦ καὶ αὐξητικοῦ μέρους τῆς ψυχῆς ὄντος σωματικωτέρου; Τὸ δὲ ἀπέχεσθαι γάμου καὶ ἀφροδισίων δεδιότας, μὴ κατὰ τὴν τοῦ γένους διαδοχὴν ἐπὶ πλέον ἐνοικήσῃ τῇ ὕλῃ ἡ δύναμις ἡ θεία, θαυμάζω πῶς καὶ αὐτοὶ ἑαυτοὺς ἀποδέχονται. εἰ γὰρ μὴ ἐξαρκεῖ ἡ τοῦ θεοῦ πρόνοια, ὥστε καὶ διὰ γενέσεων καὶ διὰ τῶν ἀεὶ 〈κατὰ τὰ αὐτὰ〉 καὶ ὡσαύτως ἐχόντων ἀποικονομήσασθαι τῆς ὕλης τὴν θείαν δύναμιν, τί ἡ τοῦ Μανιχαίου ἐπίνοια ὑπὲρ τούτου διαμηχανήσασθαι δύναται; οὐ γὰρ δήπου γιγαντείῳ λήματι ὡς ἀληθῶς φησιν τῷ θεῷ βοηθὸς πρὸς τοῦτο γεγονέναι, ἵνα τὰς γενέσεις ἀναιρῶν σύντομον ποιήσῃ τὴν τῆς θείας δυνάμεως ἀπὸ τῆς ὕλης ἀναχώρησιν. Ἃ δὲ λέγεται ὑπὸ τῶν ποιήσεων περὶ τῶν Γιγάντων, ἄντικρυς μῦθός ἐστιν. οἱ μὲν γὰρ περὶ τούτων διατάττοντες ἐν ἀλληγορίαις τὰ τοιαῦτα προφέρονται τὸ σεμνὸν τοῦ λόγου ἀποκρύπτοντες τῇ τοῦ μύθου ἰδέᾳ· οἷον ὅταν ἡ τῶν Ἰουδαίων ἱστορία φῇ τοὺς ἀγγέλους ταῖς θυγατράσι τῶν ἀνθρώπων εἰς ἀφροδισίων συνεληλυθέναι μῖξιν, τὰς γὰρ θρεπτικὰς δυνάμεις τῆς ψυχῆς ἀπὸ τῶν ἄνω ἐπὶ τὰ τῇδε 〈...〉 ἡ τοιαύτη προφορὰ τοῦ λόγου σημαίνει. οἱ ποιηταὶ δὲ ἐκ γῆς ἐνόπλους ἀνασχεῖν λέγοντες τούτους εἶτ' εὐθὺς πρὸς θεοὺς ἀντάραντας ἀπολωλέναι, τὸ ταχὺ καὶ ἐπίκηρον τῶν σωμάτων ὑποδηλοῦντες, οὕτω τὴν ποίησιν εἰς ψυχαγωγίαν τῷ θαύματι κατακοσμοῦσιν. οἳ δὲ οὐδὲν εἰδότες τούτων, ἔνθα δἂν παραλογισμοῦ τινος εὐπορῆσαι δύνωνται, ὁπόθεν δήποτε ἐκεῖνο ἕρμαιον ἑαυτῶν ποιοῦνται, ὥσπερ διαπραγματευόμενοι τὸ ἀληθὲς πάσῃ τέχνῃ καταγωνίσασθαι. Τὸ δὲ πῦρ αὐτοῖς τὸ καυστικὸν μὲν ἀφεγγὲς δέ, τὸ ἐκτὸς τοῦ κόσμου, ποῦ ἵδρυται; εἰ μὲν γὰρ ἐπὶ τὸν κόσμον, τί τὸ αἴτιον τοῦ ἀπαθῆ εἶναι μέχρι τοῦ παρόντος τὸν κόσμον; εἰ γὰρ διαφθείρει ποτὲ αὐτὸν πλησιάσαν, καὶ νῦν πρὸς αὐτὸν συνῆπται.
[5]

26 εἰ δὲ χωρίς ἐστιν οἷον ὡς ἐν ἰδίῳ τόπῳ μετέωρον, τί παθὸν ὕστερον ἐπιπεσεῖται τῷ κόσμῳ; ἢ πῶς τοῦ ἰδίου τόπου ἐκστήσεται; ὑπὸ τίνος ἀνάγκης καὶ βίας; τίνα δὲ καὶ ὕλης χωρὶς ἐπινοεῖν τοῦ πυρὸς ὑπόστασιν ἢ πῶς τὸ ὑγρὸν τούτῳ ἐστὶν τροφὴ ἢ ὅσα λέγεται φυσικώτερον, οὐ τοῦ παρόντος λόγου ἐστίν. ἐκεῖνο δὲ πάντως που φανερὸν ἐκ τῶν εἰρημένων, τὸ γὰρ πῦρ τὸ τοῦ κόσμου ἐκτὸς ἀκριβῶς ἐστιν ἡ λεγομένη ὑπ' αὐτῶν ὕλη· ἐπειδήπερ ὁ ἥλιος καὶ ἡ σελήνη καθαροὶ καθαρῶν ὄντες τῆς θείας δυνάμεως ἀπεζεύχθησαν τοῦ πυρὸς τούτου οὐδὲν ἑαυτῶν ἐν τῷ πυρὶ τούτῳ ὑπολείψαντες μέρος, τοῦτο ἦν ἡ ὕλη καθ' ἑαυτήν, τὸ ἀκριβῶς ἄμικτον πρὸς τὴν θείαν δύναμιν. ὥστε ἂν κενωθῇ κόσμος τῆς κατ' αὐτοῦ θείας δυνάμεως, πάλιν τοιοῦτον ὑπολειφθήσεται πῦρ. πῶς οὖν τὸ πῦρ ἢ διαφθερεῖ τι ἢ ὑπ' ἄλλου φθαρήσεται; πρὸς γὰρ τῷ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθὲς εἶναι— φίλον γὰρ μᾶλλον τῷ ὁμοίῳ τὸ ὅμοιον—οὐχ ὁρῶ πῶς γενήσεται ἡ φθορά. ὃ γὰρ γενήσεται ἡ ὕλη τῆς θείας δυνάμεως ἀποζευχθεῖσα, τοῦτ' ἦν πρὶν καὶ μεμῖχθαι πρὸς αὐτὴν τὴν θείαν δύναμιν. εἰ τοίνυν ἀπολεῖται ἐρημωθεῖσα τῆς θείας δυνάμεως, διὰ τί μὴ καὶ ἀπώλετο πρὶν καὶ τὴν θείαν δύναμιν 〈....〉 ἡ ἄλλη δημιουργία, ἵνα ἀπόληται ἡ ὕλη, καὶ τοῦτο ποιήσει μέχρις ἀπείρου; καὶ τί τὸ ὄφελος; ὃ γὰρ μὴ ἐγένετο ἐκ τοῦ πρώτου βουλήματος, πῶς ἐκ τοῦ δευτέρου γενήσεται; ἢ τίς ὁ λόγος θεῷ ἀναθεῖναι πράγματα ἃ οὐδ' ἐπ' ἀνθρώπου καλῶς ἔχει ὑπονοεῖν; τὸ γὰρ ἀδύνατον πρόσεστιν τῷ βούλεσθαι ἐπὶ τῶν τοιούτων, πρὸς τῷ μηδὲ τὸ βούλεσθαι, κἂν δυνατὸν ᾖ, προχείρως χρῆναι λέγειν· πλὴν εἰ μή τι ἕτερον θεὸν καὶ τὸν ἐπέκεινα οὐσίας λέγουσιν, ὥσπερ καινήν τινα εἰσάγουσιν ὕλην καὶ οὐχὶ τὴν ὑπειλημμένην παρὰ τοῖς νοῦν ἔχουσιν, ἣν ἢ μὴ παντάπασιν οὖσαν ὁ λόγος εὑρίσκει ἢ τὸ πάντων ἔσχατον καὶ μόγις εἰς ἔννοιαν νόθον ἀφικνεῖσθαι δυνάμενον. ἀλλὰ γὰρ τὸ πῦρ τὸ ἀφεγγὲς ἆρά γε πλέον ἐστὶν τῆς μελλούσης ἐρημωθήσεσθαι ὕλης ὑπὸ τῆς θείας δυνάμεως ἢ ἔλαττον; ἀλλ' εἰ μὲν ἔλαττον, πῶς καταγωνιεῖται τὸ πλέον; εἰ δὲ πλέον, ἐπανάγειν μὲν αὐτὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς αὑτὸ δυνήσεται τῆς αὐτῆς ὂν φύσεως, οὐ μὴν διαφθείρει γε αὐτό, ὥσπερ οὐδὲ ὁ Νεῖλος τοὺς ἀπ’ αὐτοῦ ἀποτεμνομένους κόλπους. [45]